24. Докато ние бяхме в това положение, началникът на варварската войска[1] реши да мине покрай цялата стена, която се мие от морето. А той беше противен и твърде лош човек. С името си и с делата си той беше равен на звяра и не беше по-добър от него със зверските си нрави и неудържимия си устрем. И ти си узнал напълно от мълвата, която разнесе навсякъде славата за злия му характер, че никой от нечестивците, за които се говори, не се е прочул до такава степен с ненаситност да гледа проливането на човешка кръв и пред всичко друго да предпочита убиването на християни. Някога и той е бил човек и, възроден и преобразен от спасителното кръщение, бил усвоил нашата религия, но, пленен от същите варвари, сменил благочестивата вяра с тяхното безчестие[2]. И той с нищо не се стараел да им се хареса толкова, колкото да се прослави с делата си и като извърши дела на изменник и разбойник, да се гордее и превъзнася с тях. И тъй този звяр и изменник Лъв, обикаляйки на кораб по морето, разглеждаше стената и злоумисляше откъде да се устреми и да нападне. Останалите пък кораби, закотвени на едно място на източния бряг, се подготвяха. А гражданите при нас и те се въоръжаваха с оръжие и, разпределени по зъберите на стената, се приготвяха също за предстоящата борба.

25. След като този звяр огледа цялата стена, а освен това и затворения с желязна верига и с някои потопени кораби пристанищен вход, той реши да извърши нахлуването оттам, където беше разбрал, че влизането на корабите не може да се възпре с преградата от по-рано потопените каменни блокове, нито пък [корабите] могат да бъдат подложени на военен натиск откъм построената вече висока стена. Но той забеляза местата, където дълбоката вода се блъска в по-ниската стена, и като се завърна при другарите си, даде знак за сражение. Те бързо се разпръснаха с корабите по означените места и, издавайки варварски и груб вик, се втурнаха срещу стената. С приготвените от кожи тъпани те произвеждаха ужасяващ шум и пла-

[1] Лъв Триполит. [2] Преди да приеме исляма, Лъв Триполит бил християнин.

κτυποῦντες, καὶ πολλοῖς ἄλλοις φοβήτροις τοὺς ἐν ταῖς ἐπάλξεσιν ἐκταράττοντες. ἀντεβόησαν δὲ μᾶλλον καὶ γεγωνοτέραν φωνὴν οἱ πρὸς τὸ τεῖχος ἑστῶτες, τὸ σωτήριον ὅπλον τοῦ σταυροῦ πρὸς τὴν κατὰ τῶν ἐναντίων ἐπικαλούμενοι συμμαχίαν, καὶ τοσοῦτον ὡς ἀκηκοότας τοὺς βαρβάρους τὸν πολυάνθρωπον ἐκεῖνον καὶ παντὸς ἀκούσματος φοβερώτερον ἀλαλαγμὸν ἰλιγγιᾶσαι τέως καὶ μηδὲν ἀνύσειν προσδοκᾶν, τοῦ δήμου τὴν πληθὺν ἀναλογισαμένους ἐκ τῆς βοῆς, καὶ ὡς οὐκ ἂν πρὸς τοσούτους ἀποδυσαμένους εἰς μάχην εὐχερῶς ἔχειν πόλιν τοσαύτην ῥαδίως ἐκπορθεῖν, ἣν οὐδενὶ παραδείγματι συγκρίνειν εἶχον. ὅμως ἵνα μὴ δόξωσι κατεπτηχέναι τὴν πρώτην προσβολήν, οὐκ ἀδεῶς μέν, οὐδὲ πάλιν μεθ᾽ ἧς ὕστερον ἐχρῶντο μανίας, ἀλλά τινι λύσσῃ φόβῳ συγκεκραμένῃ πλησίον γενόμενοι ταῖς ἀπὸ τῶν βελῶν νιφάσι τοὺς ἐξ ἐναντίας ἠμύνοντο. ἔπειτα δέ τι καὶ ἀναιδέστερον ἐπεχείρουν καὶ πλησιέστερον ἐφορμᾶν ἐφιλονείκουν, καθάπερ τινὲς ὑλακτικοὶ κύνες τὸν οἰκεῖον θυμὸν διεγείροντες, τοῖς κατ᾽ αὐτῶν φερομένοις ἀπὸ τοῦ τείχους ἐξαγριούμενοι. οὐδὲ γὰρ οἱ τῆς πόλεως τῆς τοξικῆς κατημέλουν, ἀλλ᾽ ἐχρῶντο ταύτῃ μᾶλλον ἐναργῶς καὶ ἐπιτηδείως, πάντας τοὺς ἐκ τῶν πλησίον χωρῶν προσρυέντας Σκλαβήνους τοῖς τόποις ἐκείνοις καταστησάμενοι, ὧν οὐδέν ἐστιν οὕτως τῶν ἄλλων εὐεπιχείρητον ὡς τὸ κατὰ σκοποῦ βάλλειν καὶ μηδὲν τῶν βελῶν αὐτῶν τὴν ῥύμην ἀνθυποφέρειν.

26. Ἀλλ᾽ οὕτω βαλλόντων ἑκατέρων καὶ βαλλομένων, ἰσοπαλῆ τε τὴν μάχην προσπίπτουσαν ἐνδεικνυμένων, διαιρεθέντων τινὲς τῶν βαρβάρων, τῶν ἄλλων ὡς εἰκὸς εὐτολμότεροι καὶ θρασύτεροι, καὶ τῇ θαλάσσῃ τῆς νηὸς ἑαυτοὺς ἀκοντίσαντες, κλίμακά τε ξυλίνην μεθ᾽ ἑαυτῶν συγκαθελόντες, ὤθουν ἄγοντες ἐν τοῖς ὕδασιν, πειρώμενοι δι᾽ αὐτῆς ἀνιέναι τῷ τείχει, μηδένα λόγον τῶν ἐκεῖθεν κατ᾽ αὐτῶν πεμπομένων ποιούμενοι. μέχρι γὰρ τοῦ πλησίον γενέσθαι ἐκάλυπτον τὰ σώματα, νηχόμενοί τε τῷ ὕδατι καὶ τὰς κεφαλὰς ταῖς ἀσπίσι περιφραττόμενοι· ὅτε δ᾽ ἐγγύθεν ἐγένοντο, τὸ ὕδωρ ἀποδυσάμενοι ῥωμαλεώτερον ἀντεῖχον ταῖς βολαῖς προσπαλαίοντες, τὰς ἀσπίδας μόνας φέροντες ἐπὶ κεφαλῆς, εἶτα τὴν κλίμακα θᾶττον κατὰ τῶν ἐπάλξεων ἀνελκύσαντες ἐπεχείρουν δι᾽ αὐτῆς ἀνιέναι καὶ εἴσω χωρεῖν. ἀλλὰ προέφθασε τὸ βεβουλευμένον ὁ θάνατος, καὶ πρὶν ἀκριβῶς σκοπῆσαι πῶς τὴν ἐπίνοιαν συμπεράνωσι, τῆς ζωῆς ἀπελύοντο· μόνον γὰρ ὅτι ταῖς βαθμίσι τὰ ἴχνη ἐκίνησαν, καὶ δίκην χαλάζης πυκνῆς οἱ λίθοι κατ᾽ αὐτῶν ἀφεθέντες ὁμοῦ τῇ θαλάσσῃ καὶ

шеха хората по зъберите на стената с много други страхотии. В отговор на това тези, които бяха застанали зад стената, започнаха да викат по-силно и с по-гръмък глас призоваваха на помощ срещу враговете спасителното кръстно оръжие. И това оръжие беше толкова силно, че варварите, които чуха този многоуст рев, по-страшен от всичко чуто, се слисаха за момент и сметнаха, че не ще постигнат нищо. По виковете те съдеха за множеството народ и за това, че ако влязат в сражение с толкова много хора, не ще могат да разрушат такъв голям град, който те не можеха да сравнят с нищо [видено]. Все пак, за да не изглежда, че са се изплашили при първото нападение, те се приближиха не дръзко, нито с ярост, както по-късно, но с някакъв бяс, смесен със страх, и отблъскваха хората от противната страна с облаци стрели. По-късно нападаха малко по-дръзко и се стараеха да настъпят по-близко. Като някакви лаещи кучета те сами възбуждаха своята ярост и се ожесточаваха от носещите се срещу тях стрели откъм стените. Защото и гражданите не пренебрегваха стрелческото изкуство, но си служеха с него доста оживено и успешно. Те бяха настанили по онези места стеклите се от близките околности славяни, на които нищо друго не им идеше така отръки, както да се прицелват, и нищо не можеше да издържи напора на стрелите им[1].

26. Докато двете страни стреляха така едни срещу други и се нараняваха, без някой да надделее в сражението, някои отделни варвари, по-смели и по-дръзки, както е редно, от другите, скочиха от кораба в морето и хвърлиха със себе си дървена стълба. Те я подкараха във водата, като я блъскаха, и се опитваха да се изкачат по нея на стената, без да обръщат внимание на това, което се хвърляше срещу тях. Преди да се приближат, те си криеха телата, плувайки във водата и прикривайки главите си с щитовете. Когато се приближиха и изскочиха от водата, те се държаха мъжествено и устояваха на ударите, като прикриваха само главите си с щитовете. После бързо повлякоха стълбата към зъберите и се опитваха да се изкачат по нея и да влязат вътре [в града]. Смъртта обаче ги изпревари в техния замисъл, тъй като загиваха, преди да обмислят точно как да изпълнят намерението си. Защото едва що стъпваха на напречниците на стълбата и хвърлените срещу тях като силна градушка

[1] Това привидно противоречие с израза на Камениат в гл. 20 за стеклите се славяни, че били „неподготвени за сражение" се тълкува (ВИИНЈ, стр. 271, бел. 14; *Васильев*, Византия и арабы, II, стр. 147) с неочакваното появяване най-после на опитни славянски стрелци, които представлявали голяма сила.

τῷ ὀλέθρῳ τούτους ἐξανεσκεύασαν. ἐν τούτοις ἀπισθόρμητοι πᾶσαι χωροῦσιν αἱ νῆες, οὐδενὸς ἄλλου τοιούτου τέως ἐπιχειρεῖν τολμηρῶς ἔχουσαι· μόναις δὲ ταῖς ἀπὸ τῶν βελῶν νιφάσι, καὶ αὐτὸν τὸν ἀέρα συσκιαζούσαις, ἔβαλλον ἀπὸ μηκόθεν, οὐδὲν ἧττον καὶ αὐτῶν βαλλομένων τοῖς τε βέλεσι πεμπομένοις εὐστόχως καὶ ὀλίγα διαμαρτάνουσι καὶ ταῖς ἀπὸ τῶν πετροβόλων καταφοραῖς, ὧν καὶ αὐτὸς μόνος ὁ διὰ τοῦ ἀέρος ἐγγινόμενος ῥοῖζος ἔκστασιν τοῖς βαρβάροις ἐναπειργάζετο. (27) *ἤδη γὰρ καὶ ὁ λεχθεὶς Νικήτας, ὁ πρὸς τοῦ βασιλέως σταλείς, τὸ τεῖχος ἅπαν διέτρεχε τὸν δῆμον παραθαρρύνων, „ἄνδρες“ λέγων „Θεσσαλονικεῖς, ἄλλας μὲν εἶχον πρὸ τοῦδε περὶ ὑμῶν ὑπολήψεις καὶ οὐκ ἂν οὕτω γενναίους καὶ πρὸς τὸ ἔργον τοῦ πολέμου τολμηροὺς ἔκρινον εἶναι, μηδὲν τοιοῦτον μήτε πειραθέντας πάλαι μήτε κατενεργήσαντας· νυνὶ δὲ τοῦ πράγματος ἡ ἀκμὴ οὐκ ἀγεννεῖς ἔχειν τὰς περὶ ὑμῶν παρέσχεν ἐλπίδας. ὁρῶ γὰρ πάντας ὑμᾶς τοῖς τε σώμασι σφριγῶντας καὶ ταῖς ψυχαῖς ἀνδριζομένους καὶ ὅλους ὄντας τῶν προκειμένων, τῶν ἀντιπάλων καταγελῶντας καὶ τὰς μηχανὰς αὐτῶν γενναίως ἐκτρεπομένους. καὶ οὐδὲν ἀπεικὸς πράττετε· περὶ γὰρ ὑμῶν αὐτῶν ἐστὶν ὁ ἀγών, ἀνδρῶν τιμίων καὶ τοῖς εἴδεσι καὶ τοῖς ψυχικοῖς προτερήμασι, καὶ περὶ τῆς λοιπῆς πόλεως, ἣς οὐδὲν ἐρίζει τῶν ἀξιολόγων εἰς περιφάνειαν. ὑπεράνω μὲν γὰρ γενομένοις τοῦ τῇδε κινδύνου ὁ παρὰ πᾶσιν ὑμῖν ἔπαινος ἐποφείλεται· παθοῦσι δέ τι τῶν ἀβουλήτων, καὶ ὧν οἱ βάρβαροι κατηπείληνται, οὐκ ἔστιν ὅπου τὴν συμφορὰν εἰκάζειν ἢ τῆς αἰσχύνης τὸ μέγεθος. διὰ τοῦτο στῆτε γενναίως τῇ τε πατρίδι καὶ ὑμῖν αὐτοῖς τὴν νίκην περιποιούμενοι, καὶ μὴ δῶτε νῶτα χερσὶ πολεμίων, μηδὲ καινόν τι καταλίποιτε τῷ βίῳ διήγημα, μικρᾶς ῥαθυμίας κίνδυνον τοσοῦτον ἀνταλλαξάμενοι.“ τούτοις τοῖς παρακλητικοῖς ὑπαλείφων τὸν δῆμον καὶ θάρσος οὐκ ὀλίγον ταῖς ἁπάντων ψυχαῖς ἐνιεὶς τὴν περίοδον ἐποιεῖτο. ὁ δὲ δὴ στρατηγὸς ὥσπερ τοῦ οἰκείου πάθους ἐκλελησμένος, καίπερ χαλεποῦ τε ὄντος ἐξ οὗ προείπομεν πτώματος, καὶ μείζονα τῆς δυνάμεως τὴν ὀδύνην παρεχομένου, ἡμιόνῳ τινὶ ἐπιβάς, οὐ περιβάδην ἀλλὰ κατὰ πλευρὰν καὶ ὡς αἱ τῶν θλασθέντων μελῶν ἀλγηδόνες ἐπέτρεπον, περιῄει καὶ αὐτός, τοὺς προθυμοτέρους τῶν τοξοτῶν κατά τινας χρειώδους τόπους τοῦ τείχους ἐγκαθιστῶν, ὡς ἂν τὸ κατ᾽ αὐτοὺς τυχόν, καὶ τοὺς πλησίον πρὸς μίμησιν ἐρεθίζοντες, τὰ πρὸς τὸν πόλεμον διατίθενται.*

28. *Οἱ βάρβαροι δὲ οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πολλάκις διὰ πάσης ἐκείνης τῆς ἡμέρας συνεφορμήσαντες, μᾶλλον ἢ πρότερον πεπληγμένοι πρὸς*

камъни ги изпращаха едновременно в морето и в смъртта. При това положение всички кораби се върнаха и после не посмяха да предприемат друг подобен опит. Те само хвърляха отдалеч облаци от стрели, които засенчваха слънцето, но и самите бяха не по-малко обстрелвани с точно изстрелвани стрели, които рядко не улучваха, и с камъни от каменометните машини, чието свистене само, което се появяваше във въздуха, внушаваше ужас у варварите. (27) И споменатият Никита, който бе изпратен от императора, вече обикаляше по цялата стена и ободряваше народа, като казваше: „Аз имах по-рано, солунчани, по-друго мнение за вас и не бих казал, че сте така храбри и смели във военното дело, тъй като в миналото не сте изпитвали, нито сте се занимавали с подобно нещо. Сега обаче критическото положение ми дава основание да възлагам на вас големи надежди. Защото виждам, че всички сте бодри телом и духом мъжествени, че сте се отдали изцяло на предстоящото дело и че се присмивате на враговете, като отблъсквате смело всички техни хитрости. Вие се държите както трябва, защото борбата се води за вас, мъже силни телом и духом, и за целия град, с който не може да се състезава по блясък нищо от достойните за споменаване неща. Ако вие преодолеете сегашната опасност, всички ще ви славят. Ако ли пък претърпите нещо нежелано и такова, с което ви заплашват варварите, тогава с нищо не биха могли да се сравнят нещастието и големият срам. Затова дръжте се мъжествено и извоювайте победата за града си и за себе си. Не показвайте гърба си пред неприятелите и не оставяйте поколенията да говорят за чудовищната ви постъпка, ако предпочетете краткотрайното безгрижие пред толкова голямата опасност“. С такива поощрения той правеше своята обиколка, успокояваше народа и възбуждаше немалка дързост в душите на всички. А стратегът, забравил своето страдание, макар и да бе зле поради споменатото от мен падане и то да му причиняваше по-силна болка, отколкото можеше да се търпи, и той обикаляше, яхнал мулето не разкрачено, но напреки, както му налагаха болките в разбитите му членове. На някои важни места по стената той поставяше по-смелите от стрелците с лък, които с успеха си да подбуждат към подражание намиращите се наблизо, та военните работи да се нареждат добре.

28. А варварите неведнаж, а много пъти през този ден извършваха общо нападение, но отстъпваха назад в по-голям ужас от

τοὐπίσω χωρήσαντες, ἐφ᾽ ἑνὶ συνθήματι τὴν [πρὸς] καθ᾽ ὕδατα λιπόντες μάχην ὑπανεχώρουν ταῖς ναυσί, καὶ τῷ πρὸς ἀνατολὰς ὄντι τῆς πόλεως αἰγιαλῷ προσωρμίσθησαν. εἶτα τῶν νηῶν ἐκβάντες πάλιν τοῖς βέλεσιν ἐχρῶντο κατὰ τῶν ἐκεῖσε λαχόντων τὴν στάσιν ἐν τῷ μετεώρῳ τείχει, ἔνθα καὶ πύλη τις διεξέχει Ῥώμη καλουμένη, γειτνιάζουσα τῇ θαλάσσῃ, οὗ δὴ μέχρι βαθείας νυκτὸς μαχεσάμενοι, καὶ ὥσπερ κεκμηκότες τῇ ἀγωνίᾳ καθησύχασαν ἐν ταῖς ναυσί, τάχα σκεπτόμενοι πῶς ἐπιθῶνται τῇ ἑξῆς ἡμῖν, καὶ πρὸς ἑτέρας μηχανὰς σκευαζόμενοι. ἤδη δὲ καὶ ἡμᾶς τοῦ πολέμου μικρὸν ἀνεθέντας ἄλλη πάλιν φροντὶς ἐπεισήρχετο, ἐπαγρυπνεῖν τοὺς ἐν ταῖς ἐπάλξεσι διὰ πάσης κύκλωθεν τῆς πόλεως, καὶ ὑποβλέπεσθαι τοὺς βαρβάρους, μή τινα λόχον νυκτερινὸν ἢ ἐνέδραν λάθωσι πεποιηκότες καὶ ἐν τῷ τείχει γενόμενοι τὸ πᾶν ἐξανύσωσιν. εἰσὶ γὰρ εὐφυεῖς πρὸς ταῦτα μάλιστα, καὶ ἅμα τῷ διανοηθῆναι πρὸς τὸ ἔργον χωροῦντες, πάντα κίνδυνον εἰς μηδὲν τιθέμενοι, ἑνὶ δὲ μόνῳ προσέχοντες τῷ κατάρξασθαι τοῦ βεβουλευμένου. κἂν τάχα καὶ ἐναντίον ἢ ὡς ἐφώρασαν τὸ τέλος ἐκβῇ τοῦ πράγματος, δόξαν ἔχειν ἡγοῦνται τὸ τέως ἀδυνάτοις πειρᾶσθαι τολμηρῶς ἐπιχειρεῖν. τούτου ἕνεκεν πᾶσαν ἐκείνην ἐπαγρυπνοῦντες ἐτελοῦμεν τὴν νύκτα, οὐδὲν ἑαυτοὺς τῶν προηγωνισμένων μεμφόμενοι· πρὸς τοσοῦτον γὰρ ἤλθομεν θάρσος ὡς καὶ αὐτὸν τὸν καθηγούμενον τῶν βαρβάρων ἐν θαύματι γεγονέναι, καὶ περὶ πολλοῦ ποιεῖσθαι μαθεῖν ὕστερον τὴν αἰτίαν, πῶς πρὸς ἑκάστην προσβολὴν οὕτως ἀνδρείως ἀντέστημεν, καὶ ὧν περὶ ἡμῶν ἐλπίδος αὐτοῦ περιτραπείσης.

преди. По даден сигнал те изоставиха сражението откъм морето, оттеглиха се на корабите и хвърлиха котва до брега, който е на изток от града. После слязоха от корабите и пак започнаха да стрелят срещу тези, които бяха на позиция по високата стена, там, където в съседство с морето стои така наречената Римска врата. Там варварите се сражаваха до късно през нощта и, уморени от борбата, [най-после] замлъкнаха по корабите си, но веднага започнаха да обмислят как да ни нападнат на следния ден, като крояха други хитрости. Обаче едва си отдъхнахме малко от сражението и нас ни обхвана нова грижа — хората по укрепленията из целия град наоколо трябваше да бодърствуват и да наблюдават да не би варварите, като направят незабелязано някаква засада или измама, да се намерят на стените и да постигнат всичко. Защото те са твърде много способни за такива работи и щом ги намислят, веднага пристъпват към изпълнението им. Те пренебрегват всякаква опасност и само за едно залягат — да изпълнят решеното. И макар краят на предприятието да излезе обратен на този, който са очаквали, те смятат, че опитът им да се заловят с невъзможни дотогава работи, носи слава. Затова ние бодърствувахме през цялата тази нощ, без да се оплакваме за водената преди това борба. Ние се одързостихме до такава степен, че и самият водач на варварите се намери в чудо и по-късно държеше много да разбере как при всяко нападение сме се противопоставяли така мъжествено, поради което надеждите му относно нас рухнали.

29. Ἀλλ᾽ ἐπειδὴ κῆρυξ ἦν ἐπιστὰς ὁ ὄρθρος τῆς δευτέρας τοῦ πολέμου ἡμέρας, καὶ τῶν πραχθέντων ἤδη χαλεπώτερα καθ᾽ ἡμῶν ὑπὸ τῶν βαρβάρων ἐπινενόητο, ἔκαμνον πάλιν οἱ στρατηγοὶ ταῖς φροντίσι τὸν ἑκάστου θυμὸν διεγείροντες καὶ τὸ καθ᾽ ἑαυτοὺς πρόθυμον εἰσηγούμενοι. τῆς ἡλιακῆς οὖν ἀκτῖνος τὸν ἀέρα περιλαμψάσης ἐφώρμησαν καὶ αὖθις τῶν νηῶν ἐκβάντες οἱ βάρβαροι τῷ τείχει, διασπαρέντες καὶ κατά τινας τόπους ταῖς φάλαγξιν ἑαυτοὺς διελόμενοι, κατὰ δὲ τὰς διεξόδους τῶν πυλῶν μᾶλλον συρρεύσαντες ὅλην ἐκίνουν [τὴν] καθ᾽ ἡμῶν αὐτῶν τὴν πανοπλίαν. οἱ μὲν γὰρ αὐτῶν τοῖς τόξοις, ἕτεροι δὲ χειροποιήτῳ βροντῇ τῶν λίθων ἐκέχρηντο· ἄλλοι τοῖς πετροβόλοις ἐγκαθήμενοι τὰς ὑπερμεγέθεις ἐκείνας τῶν πετρῶν χαλάζας μετεωρίζοντες ἔπεμπον. καὶ πολυειδής τις ἦν ὁ καθ᾽ ἡμᾶς ἀπειλούμενος φόνος, καὶ πανταχόθεν προσπίπτων φοβερὰν ἐποίει τὴν πεῖραν τοῖς προστυγχάνουσι. καὶ γὰρ κατὰ μόνης τῆς ῥηθείσης πύλης ἑπτὰ παρέστησαν πετροβόλους, πάντοθεν περιπεφρα-

29. Но когато настъпилата зора възвести втория ден от войната и варварите измислиха срещу нас по-тежки от предишните удари, стратезите отново се грижеха до изтощение да ободряват духа на всеки и да показват за пример своята смелост. И тъй, когато слънчевите лъчи осветиха небето, варварите отново слязоха от корабите и се устремиха към стената. Като се разделиха и се пръснаха на отреди по отделни места [на стената] — особено много се съсредоточиха при портите, — те се насочиха против нас с всичкото си оръжие. Едни от тях си послужиха с лъковете, други — с ръчна прашка за камъни, а трети, заседнали в каменометните машини, изпращаха по въздуха градушки от преголеми камъни. И заплашващата ни смърт беше многолика. Тя връхлиташе навсякъде, като поразяваше страшно изпречилите ѝ се насреща. И наистина само срещу споменатата врата стояха седем защитени отвсякъде каменометни машини, които [варварите] били

γμένους, οὓς διερχόμενοι τὴν Θάσον πρὸς τὴν τοιαύτην χρείαν προπαρεσκεύασαν. καὶ μὴν ξυλοσυνθέτους τινὰς κλίμακας ἀντικρὺ τούτων τῷ τείχει προσπελάσαντες ἀνιέναι δι᾽ αὐτῶν ἐπειρῶντο, τοῖς ἀπὸ τῶν πετροβόλων ἀφιεμένοις λίθοις τὸ ἀσφαλὲς ἑαυτοῖς συντηρούμενοι· οὐ γὰρ εἴων ἐνδελεχῶς ἐνεργοῦντες ἐκεῖνοι προκύπτειν ἀβλαβῶς τοῦ μετεώρου τείχους τινά. καὶ δὴ εἰς ἔργον αὐτοῖς ἔφθασαν ἂν τὰ βεβουλευμένα, ἤδη τὴν κλίμακα ταῖς ἐπάλξεσι τοῦ προτειχίσματος ἀνελκύσασιν, εἰ μὴ θεία τις δύναμις ἄνδρας τινὰς τολμηροὺς καταπηδῆσαι τῷ τόπῳ ἐνίσχυσεν, οἳ καὶ δόρασι τρώσαντες τοὺς βαρβάρους πρὸς τοὐπίσω σὺν τῇ κλίμακι τούτους ἐναπεκρήμνισαν. οὕτω δὲ καὶ τὴν ἐπίνοιαν ταύτην εἰς μηδὲν προβᾶσαν ἑωρακότες, φυγῇ τε χρησαμένων ὡς καὶ τὴν κλίμακα καταλιπεῖν, εἰς τοσοῦτον ἡμεῖς ἤλθομεν θάρσος ὡς καὶ γελᾶν κατ᾽ αὐτῶν, καὶ προθυμότερον τῆς ἄλλης ἡμέρας τοῖς τε βέλεσι χρῆσθαι καὶ τοῖς ἀπὸ τῶν πετροβόλων λίθοις, καὶ μηκέτι συγχωρεῖν αὐτοῖς κἂν πρὸς βραχὺ προσιέναι τῷ τείχει, κἂν ὅτι πρὸς μανικώτερον ἐξαφθέντες καὶ αὐτοὶ δίκην συῶν ἀγρίων τοὺς ὀδόντας παρέθηγον, καὶ εἴ πως ἐνῆν, ζῶντας ἐθέλειν ἡμᾶς ἐν αὐτοῖς διαρρήξασθαι. οἷον γὰρ ἦν αὐτῶν φοβερὸν ἀκούειν καθ᾽ ἡμῶν μεμηνότων! πῶς τῆς ὑπερβαλλούσης ὀργῆς ἐποιοῦντο τὴν ἔνδειξιν, ὁπότε βρύθιον ἔβρυχον καὶ τοῖς ἐκ τοῦ στόματος πεμπομένοις ἀφροῖς τὸ δαιμονιῶδες αὐτῶν παρεδείκνυντο, οὐδὲ τροφῆς μεταλαβεῖν διὰ πάσης ἐκείνης τῆς ἡμέρας βουλόμενοι, ἀλλ᾽ ἀκορέστως ἔχειν τοῦ πολέμου ἐν οὕτω λαβροτάτῳ καύματι, καὶ μηδ᾽ ὅτι σώματα περίκεινται καὶ καμάτῳ δαμαζόμενα καὶ τῷ ὑπὲρ κεφαλῆς ἡλίῳ καυσούμενα παντελῶς αἰσθανόμενοι, τοῦτο δὲ μόνον διὰ φροντίδος ἔχοντες, ἢ πορθῆσαι τὴν πόλιν καὶ τὸν καθ᾽ ἡμῶν ἀναπλῆσαι θυμόν, ἢ μὴ προβαίνοντος τούτου καὶ τῆς ζωῆς ἀπειπεῖν καὶ ἑαυτοὺς τοῖς ὅπλοις διαχειρίσασθαι. θυμὸς γὰρ ἅπαξ βαρβαρικὸς ἐξαφθεὶς οὐ πρότερον τῆς κινούσης αὐτὸν ἀλογίστου ὁρμῆς ἀπολήξειε, μέχρις ἂν ἢ τοῦ οἰκείου αἵματος ἢ τοῦ ἐξ ἐναντίας ἀντιπράττοντος ἴδῃ τὴν ἔκχυσιν.

30. Ἀλλ᾽ ἐπειδὴ τὸ προσπελάζειν αὐτοὺς τῷ τείχει οὐκ ἀκίνδυνον ἦν, πάντα τοῖς βέλεσι τοῖς πετροβόλοις ἐπέτρεπον. στιχηδὸν γὰρ ἑαυτοὺς κατατάξαντες, καὶ τοσοῦτον ἀποστάντες ὅσον τὰς βολὰς αὐτῶν μήπω τῆς ὁρμῆς ὑπενδιδούσης τῇ πόλει προσπίπτειν, ταῖς ἀσπίσι τε φραξάμενοι καὶ ὅλοι τῆς ἀγωνίας γενόμενοι, ἵσταντο καθάπερ τινὲς ἀνδριάντες ἐκ χαλκοῦ ἢ τινος ἄλλης στερροτέρας ὕλης συμπεπηγότα ἔχοντες σώματα, μυρίῳ τινὶ καὶ ἀνεκδιηγήτῳ καρτεροῦντες πόνῳ καὶ πρὸς τὸν πόλεμον ἁμιλλώμενοι. τοῦ γὰρ ἡλίου κατὰ τὸ μέσον ἄγοντος τὴν ἡμέραν, ὅτε καὶ ταῖς βολαῖς τῶν ἀκτίνων τὸν ἀέρα πλέον

предварително приготвили за тази цел, когато минавали покрай Тасос. Освен това точно срещу тях те бяха приближили до стената дървени стълби и се опитваха да се възкачат по тях под сигурното прикритие на изпращаните от каменометните машини камъни. Защото камъните летяха непрекъснато и не позволяваха на никого да надникне от високата стена. И плановете на варварите щяха да се осъществят — те бяха успели вече да изправят стълбата срещу зъберите на предното укрепление, — ако някаква божествена сила не беше окуражила смели мъже да скочат на това място. Те раниха с копията си варварите и ги сгромолясаха назад заедно със стълбата. А ние, като видяхме, че по този начин се осуети техният замисъл и че, като побягнаха, изоставиха и стълбата, така се одързостихме, че им се присмивахме, служехме си по-ревностно от предния ден със стрелите и с каменометните машини и не им позволявахме да се приближат до стените дори за малко време, макар те, обхванати от по-силна злоба, да точеха като глигани зъби и ако можеше някак, биха поискали да ни разкъсат с тях живи. Колко страшно беше да чуваме как ни заплашват! Как показваха прекомерната си злоба, когато скърцаха ужасно със зъби, и как проявяваха своя бяс, като изпускаха от устата си пяна! През целия този ден те не искаха да турят храна в устата си и при най-силния пек неуморно продължаваха сражението. Те не усещаха дрехите на телата си, нито че са капнали от умора, че над главата им пече слънцето, но имаха само една грижа — или да разрушат града и да задоволят яростта си против нас, или ако не сполучат в това, да се простят с живота си и да се самоунищожат със [собственото си] оръжие. Защото варваринът, веднаж възпламенен от бяс, не ще се спре в движещия го безсмислен устрем, преди да види пролята собствената си кръв или тази на противника си.

30. Но тъй като не беше безопасно да се приближават до стената, те предоставиха всичко на лъковете и на каменометните машини. Като се построиха в редици, и то на такова разстояние, че изстрелите им да достигат и улучват града, те, защитени от щитовете и отдали се изцяло на борбата, стояха като някакви статуи, излети от мед или от друг някакъв по-твърд материал, издържаха на хиляди неописуеми мъки и устояваха във войната. Защото по пладне, когато слънчевите лъчи напичат въздуха повече, отколкото през другите часове, страшната жега като че ли разпали някак вроденета им ярост и

τῶν ἄλλων ὡρῶν διαπυροί, τῇ ἀκμῇ τοῦ καύματος ὥσπερ τὴν φυσικὴν ἐκκαύσαντες λύσσαν, καὶ τὸν ἄλογον ἐκεῖνον θυμὸν ταῖς ἀπονοίαις προσερεθίσαντες, ἐφ᾽ ἕτερον εἶδος πολιορκίας (καὶ σκόπει πῶς χαλεπὸν) τὴν ὁρμὴν μετηγάγοντο. τεττάρων γὰρ πυλῶν πρὸς τῷ ἀνατολικῷ μέρει τῆς πόλεως διεξαγουσῶν, ἐσκέψαντο τὰς δύο αὐτῶν πυρὶ τεφρῶσαι, τήν τε ῥηθεῖσαν Ῥώμην καὶ τὴν Κασσανδρεωτικὴν καλουμένην, τοῦτο ἐν τῇ διανοίᾳ θέμενοι, ὡς εἰ δυνηθεῖεν τῶν ἔξω πυλῶν καιομένων εἴσω χωρῆσαι τοῦ προτειχίσματος καὶ τὸ μετέωρον ὑποδύσασθαι τεῖχος, μηδένα φόβον ἔχειν πρὸς τὸ καὶ τὰ ἔνδον κακουργῆσαι καὶ τῇ πόλει πάντας ἐφ᾽ ἓν συνελάσαι, ἐξ ἐναντίας παραστησάμενοι τοξότας εὐστόχους τε καὶ δεινούς, ὡς ἂν τῇ συνεχείᾳ τῶν βελῶν μὴ ἐᾶν ἀκινδύνως προκύπτειν τῶν ἔνδον τινα. (31) *καὶ δὴ τοῦ τεχνάσματος οὕτως ἐνήρξαντο. ἁμάξας ἐφευρόντες ἐπέθηκαν αὐταῖς πρηνεῖς τὰς βραχυτάτας νῆας, αἷς πρὸς τὴν θήραν τῶν ἰχθύων οἱ καθ᾽ ἡμᾶς ἁλιεῖς ἐκέχρηντο, ἔτι δὲ καί τινων ἄλλων ξύλων πληθὺν καὶ φρυγάνων σωρείαν, ἅτινα πίσσῃ καὶ θεάφῳ καταρράναντες καὶ τὰς ἁμάξας ὑποδύντες ἔστρεφον τοὺς ἄξονας, ἄγοντες αὐτὰς ταῖς χερσίν, ἕως ἔφθασαν μέχρις αὐτῶν τῶν πυλῶν. εἶτα τὴν ὕλην ἐκείνην ὑφάψαντες, καὶ ὀπισθόποδες ταῖς ἀσπίσι φραξάμενοι πρὸς τοὺς τοξότας χωρήσαντες, ἔλαθον τὸ βεβουλευμένον εἰς ἔργον ἀγαγεῖν. τὸ πῦρ γὰρ τῆς ὕλης λαβόμενον καὶ τοῖς ὑπεκκαύμασι πρὸς μείζονα φλόγα διεγερθὲν τὴν μὲν ἔξω τῶν πυλῶν ἐπιφάνειαν, ἥτις ἦν ἅπασα σεσιδηρωμένη, πυρακτωθῆναι πεποίηκε, τὴν λαμπάδα δὲ καὶ πρὸς τὸ εἴσω μετοχετεῦσαν ἐξαφθῆναι δι᾽ ὅλου τὰς πύλας ἠνάγκασεν, ὡς μετὰ βραχὺ ταύτας καταπεσεῖν καὶ δειλίαν οὐ τὴν τυχοῦσαν ἅπασιν ἐμβαλεῖν. μόνον γὰρ ὅτι καθ᾽ ὅλης ἐκηρύχθη τῆς πόλεως ἡ τῶν πυλῶν ἔκκαυσις, καὶ καθάπερ τινὸς ξίφους ὑποδραμόντος τὰς ἁπάντων καρδίας, οὕτως ἐναγωνίους καὶ τρομώδεις τοὺς ἀνθρώπους πεποίηκε, τὰς μορφὰς ἀλλοιώσαντας καὶ πᾶσαν χρηστὴν ἀθρόον προδεδωκότας ἐλπίδα. καὶ γὰρ οἱ πρὸ βραχέος τοῖς τείχεσιν ἐξαλλόμενοι καὶ πρὸς τὸν διὰ μάχης ἀγῶνα ἀλλήλους ἐγκελευόμενοι πτωκῶν ἀδρανέστεροι ταῖς ἀληθείαις ἐδείκνυντο. αὐτὸ γὰρ τοῦτο, τὸ τὴν μηχανὴν ἐκείνην εἰς ἔργον ἐκβῆναι, μαντεύεσθαι τοῦ τέλους ταῖς ἁπάντων ἐδίδου ψυχαῖς. πλὴν ὅτι τῶν ἔξω πυλῶν πυρποληθεισῶν τὰς ἔνδον ἡμεῖς τειχίῳ τινὶ νεοδομήτῳ θᾶττον περιφραξάμενοι, ὕδατά τε ταῖς ἐπάλξεσιν ἔν τισι προαποθέμενοι σκεύεσιν, ἐφυλαττόμεθα πότε καὶ πρὸς ταύτας τυχὸν ἐφορμήσουσιν οἱ πολέμιοι, ἵν᾽ ὅτε τῆς κακουργίας καὶ αὖθις ἐπιχειρήσωσιν, ἔχωμεν ὅπως τῆς φλογὸς ἀντιποιησό-*

те, възпламеняvайки с дръзката си смелост безумния си бяс, преминаха в нападението си към друг вид обсада (ще видиш колко страшна!). На източната част на града имаше четири врати[1]. Варварите решиха да опожарят с огън две от тях — споменатата Римска врата и така нариканата Касандрийска. Те предполагаха, че ако могат да влязат вътре в предното укрепление, когато се запалят външните врати[2], и се промъкнат под високата стена, никаква опасност не би представлявало [за тях] да повредят и вътрешните врати[3] и да пуснат в града всички до един, ако поставят отсреща точни и сигурни стрелци, които с непрекъснатото си стреляне не ще позволяват на никой от защитниците да наднича безопасно. (31) И наистина те се заловиха за работа по следния начин. Намериха коли. В тях натовариха надлъж найкъсите ладии, с каквито рибарите у нас си служеха някога за ловене на риба. Освен това натовариха и много други дърва и куп съчки, които поляха със смола и сяра. И като се мушнаха под колите, те ги бутаха с ръце и въртяха осите, докато стигнаха до самите врати. После незабелязано приведоха в изпълнение замисленото, като запалиха тази материя и се върнаха при стрелците, прикривайки се с щитовете си. Огънят обхвана материята и благодарение на запалителните вещества се разрасна в по-голям пожар. Той нажежи външната страна на вратите, която беше цяла обкована в желязо. Пламъкът проникна и откъм вътрешната страна и запали цялата врата, така че тя след малко падна и това предизвика у всички ни необикновен страх. Едва що се разнесе по целия град вестта за изгарянето на вратите и това нещо направи хората страхливи като че ли някакъв нож прободе толкова храбрите [досега] сърца на всички. Техните лица се измениха и те веднага загубиха всяка надежда за успех. И наистина тези, които преди малко се изправяха по стените и едни други се поощряваха за борба през време на сражението, [сега] се показаха наистина по-страхливи от зайци. Самият факт, че тази хитрост сполучи, позволяваше на всички да предвиждат края. Щом изгоря външната врата, ние бързо укрепихме вътрешната с новопостроена стена и приготвихме по зъберите съдове с вода, та, ако пристъпят към злодейското си дело — ние се боехме, че неприятелите може би ще предприемат нападение и срещу нея — да

[1] Те са от юг на север: Римската врата, Касандрийската врата, Архангеловата врата и вероятно външната врата на акропола. [2] Както става ясно от контекста, тези врати са били двойни. Външните врати, наричани катаракти, са били обковани с желязо и са се вдигали със скрипци. [3] Вътрешните врати са били дървени.

μεθα καὶ τῆς ἐπιβουλῆς ἀπειράτους τὰς πύλας διατηρήσομεν. ὃ δὴ καὶ γνόντες ἐκεῖνοι οὐκέτι ταῖς τοιαύταις κακοβουλίαις ἐχρήσαντο, ἑτέραις δέ τισιν ἔμελλον δεινοτέραις ἔτι καὶ σφοδροτέραις τὸν καθ' ἡμῶν ἐπιτηδεύειν ὄλεθρον, ὃν οὐδεμιᾷ μεθόδῳ τοῦ λοιποῦ δυνατὸν ἦν διακρούσασθαι ἐνεργῆ τε ὄντα καὶ πᾶσαν μηχανὴν ὑπερβαίνοντα. πλὴν οὕτω τοῦ πυρὸς παυσαμένου τὸ λοιπὸν τῆς ἡμέρας τοῖς πετροβόλοις ἐχρῶντο καθ' ἡμῶν καὶ τοῖς τόξοις, μέχρις ἂν τὸ νυκτερινὸν σκότος τὸ φῶς διεδέξατο καὶ τῆς ἀγωνίας παύεσθαι μηδὲ βουλομένους αὐτοὺς κατηνάγκασε.

32. *Εἶτα ἐπειδὴ τοῦ πολεμεῖν ἐπαύσαντο, ταῖς ναυσὶν ἐμβάντες καί τι μικρὸν ἡσυχάσαντες ἤρχοντο τοῦ δράματος ὅπερ ἦσαν ταῖς ἑαυτῶν δεινότησι προεξευρημένοι. τὸ δὲ ἦν τοιαύτην αὐτοῖς ἀπόπειραν ἐμποιοῦν, ὡς εἰ μὲν δι' αὐτοῦ δυνηθεῖεν τὴν πόλιν πορθήσειν, εὖ ἂν ἔχειν, διὰ τὸ μηδὲν ἄλλο τῶν εἰς πολιορκίαν συντεινόντων ἴσα δύνασθαι τούτου, καὶ μάλισθ' ὅταν ἀφ' ὑδάτων ἐστὶν ἡ μάχη καὶ μὴ μεσιτεύει χέρσος τὴν ἐπιβουλὴν διακόπτουσα· εἰ δέ γε μετὰ τῶν ἄλλων ὧν προενήργησαν καὶ τοῦτο εἰς μηδὲν αὐτοῖς συντελέσειε, τοὺς εἰς τοῦτο παρορμήσαντας αὐτοὺς καὶ τοσοῦτον πλοῦν διανύσαι μάτην ἀποπλανήσαντας τοῖς ὅπλοις διαχειρίσασθαι, καὶ οὕτως ἐν τοῖς ἰδίοις ἀπαίρειν. ταύτην οὖν παρ' ἑαυτοῖς θέμενοι τὴν βουλήν, ἔτι κατ' ἀρχὰς οὔσης τῆς νυκτός, τοῦ ποικίλου καὶ πολυειδοῦς ἐκείνου ἀπήρξαντο μηχανήματος. ἐξάψαντες πανταχοῦ φῶτα, καὶ πάσας αὐτῶν τὰς νῆας κατὰ δύο συζεύξαντες ἑτέραν τῆς ἑτέρας ἐχομένην, καί τισι κάλοις στιβαροῖς καὶ σιδηραῖς ἁλύσεσι τὰς ἑκατέρων πλευρὰς συσφίγξαντες πρὸς τὸ μὴ ῥαδίως ἀφίστασθαι, ἀνείλκυσαν διὰ τῶν κατὰ πρῶραν ἀπῃωρημένων ἐξαρτίων τὰ διὰ μέσου προβεβλημένα ξύλα, ἃ τοῖς ναυτιλλομένοις κατάρτια καλεῖν ἔθος. εἶτα τοὺς τῶν ἑκατέρων νηῶν αὐχένας ἐν τούτοις διὰ τῶν εἰς τὴν κεφαλίδα στρεφομένων σχοινίων μέσον που τοῦ ἀέρος μετεωρίσαντες, τάς τε σπάθας αὐτῶν ἐκ τοῦ κατὰ πρῶραν μέρους καὶ πέρα τῆς τῶν νηῶν διαμέτρου προβεβληκότες, ξένον τι καὶ παρηλλαγμένον πανούργευμα διὰ τοῦ τοιούτου τεχνάσματος ἐτεκτήναντο. ὑψοῦ γάρ, ὡς ἔφην, τῶν αὐχένων μετεωρισθέντων, ἔβαλλον ἐν αὐτοῖς ἐπιθέντες μακρά τινα ξύλα στιχηδὸν ἄλλο κατ' ἄλλο, καὶ τὸν διὰ μέσου τόπον γεώσαντες τῇ σεσοφισμένῃ ταύτῃ μηχανῇ, τὰ πέρατά τε πάντοθεν σανίσι καταφραξάμενοι, καὶ τὰ ἄκρα τῶν αὐχένων ἐν τοῖς κατὰ πρύμναν μέρεσι ἄλλοις στιβαρωτάτοις δεσμοῖς ἐνα φα-*

можем да се борим срещу огъня и да запазим вратата недостъпна за заговорниците. Неприятелите обаче узнаха това и не си послужиха вече с такива коварни средства, но замисляха с други по-страшни и по-силни да подготвят нашата гибел, от която не беше възможно в бъдеще да се изплъзнем, защото тези средства бяха ефикасни и надминаваха всяка хитрост. След като по този начин пожарът спря, през останалата част на деня те стреляха срещу нас с каменометните си машини и с лъкове, докато нощният мрак не скри светлината и не ги накара да спрат борбата против волята си.

32. След като прекратиха сражението, те се качиха на корабите си и след малко затишие се заловиха да осъществяват делото, което бяха замислили със своята страшна хитрост. Те трябваше да извършат този опит, за да постигнат целта си, ако успеят да разрушат града с този план, тъй като никой друг от досега прилаганите планове при обсада не можеше да се сравнява с този, особено при положение, когато нападението става откъм морето и по средата няма суша, която да осуетява коварния замисъл. Ако ли след другите планове, които бяха опитали по-рано, и този не им се удадеше, те бяха решили да унищожат с оръжието си тези, които ги бяха подбудили към това предприятие и ги бяха заблудили да извършат напразно това плаване, и след това да се отправят за родината си. Като взеха това решение, варварите се заловиха още в началото на нощта за своя хитър и сложен план. Те запалиха навсякъде огньове. Всичките си кораби съединиха по два непосредствено един до друг и, за да не могат да се отделят лесно, свързаха им страните със здрави въжета и железни вериги. Те издигнаха чрез изправените на носа мачти надебелените по средата греди, които моряците обикновено наричат катарти[1]. След това чрез вързаните накрая въжета издигнаха високо авхените[2] на двата кораба и ги поставиха върху катартите. На носовите части, а освен това и по страните на кораба поставиха да стърчат мечовете си. Така чрез това устройство те изградиха едно чудно и необикновено коварно съоръжение. Защото, след като издигнаха, както казах, високо авхените, те нахвърляха върху тях други дълги греди, като ги наредиха едни до други и с това умно изобретение направиха по средата площадка, чиито краища защитиха отвсякъде с дъски. Краищата на авхените закрепиха за задните

[1] По всяка вероятност т. нар. рея. Вж. *Иоанн Камениата*, Взятие Фессалоники, стр. 180, бел. 1 към гл. 32. [2] Кормилна греда или вид рея?

λισάμενοι, πύργους τινὰς τῶν εἰς τὴν χέρσον ἐν τῷ τείχει καθισταμένων χρειωδεστέρους τῇ ἐπινοίᾳ ταύτῃ κατετεχνάσαντο, ἐν οἷς ἐνόπλους τινὰς βαρβάρους ἐπανεβίβασαν, ῥώμῃ σωμάτων καὶ τολμηρίᾳ φύσεως ἀνεσταλμένους, τὴν καθ' ἡμῶν ὑστάτην καὶ τελευταίαν ἐπιβουλὴν ἐνεργήσοντας. ἐπέτρεπον γὰρ τοὺς μὲν αὐτῶν βάλλειν τοῖς τόξοις κατὰ τῶν ἐνδοτέρων τοῦ τείχους ἑστώτων, τοὺς δὲ τοῖς χειροπληθέσι λίθοις· ἄλλους πυρί τινι, καὐτῷ τετεχνημένῳ κἀν τισιν ὀστρακίνοις σκεύεσι προευτρεπισμένῳ, καθοπλίσαντες κατὰ τῶν ἀντιπρόσωπον αὐτῶν ἐρχομένων προσέταττον ἀκοντίζειν. ταῦτα δὲ πάντα ἦν αὐτοῖς ἐνεργῆ τε καὶ ἐπιτήδεια διὰ τὸ μηκέτι περὶ γῆν αὐτοὺς εἶναι ποιεῖν, ἀλλὰ τῷ προλεχθέντι κακουργῷ τεχνάσματι ὑψηλοτέρους αὐτοὺς καὶ αὐτῆς τῆς οἰκοδομῆς γενέσθαι τοῦ τείχους καὶ πᾶσαν αὐτῶν κακόνοιαν ὡς ἀπὸ μετεώρου χρειώδη συμβαίνειν.

части на корабите с други много здрави въжета. Така те построиха хитроумно кули, които бяха по-добри от тези, които се намираха по стените на сушата. Върху тях покачиха някои въоръжени варвари, отличаващи се с телесна сила и с дързост. На едни от тях варварите наредиха да стрелят с лъкове, а на други — да хвърлят големи камъни по тези, които бяха застанали зад стените; трети въоръжиха с огън, който също беше приготвен и беше поставен предварително в глинени съдове, и им заповядаха да го хвърлят по тези, които се насочват срещу тях. Всичко това беше за тях изпълнимо и удобно, понеже нямаше да действуват от земята, но благодарение на гореспоменатото проклето приспособление бяха застанали по-високо от самия зид на стената и цялата им злоба сполучливо се изсипваше отвисоко.

33. *᾿Αλλ' ἐπειδὴ ταῦτα πάντα κατ' αὐτὴν ἐκείνην τὴν νύκτα εἰς ἔργον ἤχθη τοῖς ἀσεβέσιν, οὐδὲν δὲ τῶν πραττομένων τέως ἐλάνθανεν ἡμᾶς διὰ τό, ὡς εἴρηται, φῶτα ἔχειν αὐτοὺς πολλὰ καὶ πλησίον εἶναι τὸν αἰγιαλὸν εἰς ὃν αὐτοῖς τὰ δόξαντα διεσπούδαστο, ἔλαβε πάντας φόβος καὶ ἔκπληξις, καὶ οὐκ εἶχον ᾧ τινι λοιποῦ τρόπῳ τὸ ἀσφαλὲς ἑαυτοῖς συντηρήσονται. ἦν γὰρ ἰδεῖν τὸν δῆμον ὅλον δι' ὅλου κλονούμενόν τε καὶ ἀπορούμενον, ἄλοτε ἄλλως ἀμηχανῶντα καὶ πρὸς αὐτὴν τὴν ζωὴν κινδυνεύοντα. οὐ γὰρ ὅπως ἕκαστος ἀποκρούσηται τὴν ἐφεστῶσαν ἀνάγκην διὰ φροντίδος εἶχεν, ἀλλὰ πῶς ἢ μεθ' οἵας ἀλγηδόνος τῷ θανάτῳ προσομιλήσει τοῖς λογισμοῖς κατετέμνετο. φυγεῖν μὲν γὰρ οὐκέτι οὔτε πρόχειρον οὔτε ἀσφαλὲς ἦν, κύκλῳ τοῦ τείχους τῶν βαρβάρων περιεστώτων καὶ κατὰ τῶν πυλῶν ἐφεδρευόντων· προσμένειν δὲ πάλιν ὁ κατ' ὀφθαλμοὺς οὐκ ἐδίδου κίνδυνος. πᾶσαν οὖν ἐλπίδα σωτηρίας προδόντες, καθάπερ ἐνεοί τινες τὸ τεῖχος διήμειβον, τῷ μεγέθει τῆς συμφορᾶς ἀπορούμενοι. πλὴν ἔδοξέ τισιν, ὅσοις οὐ κατέσβη τελείως τῆς ἀνδρίας ἡ θρυαλλίς, μεταξὺ τῆς προσδοκίας τῶν πολεμίων προευτρεπίσαι τινὰ τῷ τείχει εἰς ἀποτροπὴν τῶν ἐπερχομένων. τὰ δὲ ἦν πίσσα καὶ δᾷδες καὶ ἄσβεστος καί τινα ἄλλα, οἷς τρέφονται τὸ τάχος πυρὸς φλόγες, σκεύεσιν ὀστρακίνοις ἐπιτετηδευμένα, ὡς ἂν τῶν νηῶν τυχὸν ἐφορμουσῶν τούτοις χρώμενοι καὶ διὰ μέσου τούτων ἐξακοντίζοντες ἀπράκτους αὐτοὺς τῆσδε τῆς ἐπιχειρήσεως ἀποδείξωσιν.*

33. Но тъй като нечестивците извършиха всичко това в същата нощ и нищо от това, което се правеше, не оставаше скрито от нас, понеже, както казахме, те бяха запалили много огньове, а и брегът, срещу който бързаха да изпълнят решението си, беше наблизо, всички [солунчани] бяха обхванати от страх и ужас и вече не знаеха по какъв начин ще се запазят занапред. Защото можеше да се види как целият народ беше напълно изплашен и безпомощен, като всеки по различен начин се чувствуваше в безизходност и застрашен за самия си живот. Никой вече не се грижеше как да се спаси от предстоящата беда, а мислено си представяше как и с каква мъка ще срещне смъртта. Да се избяга не беше вече нито възможно, нито безопасно, понеже варварите бяха обкръжили стената и бяха направили засади срещу портите. От друга страна, опасността, която стоеше пред очите, не позволяваше да се стои със скръстени ръце. Някои, загубили всяка надежда за спасение, отчаяни от голямото нещастие, се движеха като неми от едно място на стената до друго. Други обаче, в които още пламтеше огънят на мъжеството, решиха, докато чакат неприятелите, да приготвят предварително нещо, за да отблъснат нападащите, а именно смола, борина, негасена вар и други неща, поставени в глинени съдове, с които бързо се подхранва огънят. Те смятаха да си послужат с тях, ако случайно корабите се устремят [към стената], и като ги хвърлят по средата им, да ги поставят в невъзможност да извършат замисленото.

34. *῾Ως δὲ καὶ ταῦτα ἀνθρώπων ἦν ἀπορουμένων ἔργα καὶ διαβούλια, ἤδη δὲ καὶ τῆς ἡμέρας τὸ φῶς τὸν νυκτερινὸν ζόφον διέλυεν ἰδοὺ δὴ καὶ αἱ νῆες, ὡς εἶχον σκευῆς, κατὰ πολλοὺς τόπους*

34. Докато тези отчаяни хора замисляха и вършеха това, ето дневната светлина вече разкъса нощния мрак и корабите, така както бяха приготвени и разпределени на много

διαιρεθεῖσαι τῷ τείχει προσέρρηξαν, καινόν τι καὶ παράδοξον θέαμα ταῖς ἁπάντων ὄψεσι προδεικνύμεναι· ἑκάστη γὰρ αὐτῶν συζυγία ἐπεφέρετο τὴν σεσοφισμένην ἐκείνην τῶν ξυλοσυνθέτων πύργων κατασκευήν, πολλῷ τῷ μέτρῳ τὴν τοῦ τείχους οἰκοδομὴν ὑπερβαίνουσαν, ἄνωθέν τε τοὺς βαρβάρους, ἐξαλλομένους καθάπερ τινὰς ἐξοιστρημένους ταύρους, καὶ τὸν ὄλεθρον πᾶσιν ἐπισείοντας. τότε δὴ τότε, ὅσοι τοῦ δήμου τῆς πόλεως τοῦ μὲν θανάτου καταφρονήσαντες ἀφύκτου τε ὄντος καὶ κατὰ κόρης, ὡς εἰπεῖν, ἱσταμένου ὅλοι τῆς ἀγωνίας ἐγένοντο, ἐπίδειξιν ἀνδρίας τοῦ κινδύνου τὴν ἀκμὴν ποιησάμενοι ἔστησαν γενναίως ἀθλοῦντες ἐν τῷ πολέμῳ, καὶ τὰ παρ' ἑαυτοῦ ἕκαστος αὐτῶν ἐπεδείκνυτο· οὐ γὰρ εἴων τέλεον πλησιάζειν τὰς νῆας, ἀλλὰ τὸ μὲν τοῖς συχνοῖς βέλεσι τὸ δὲ τοῖς τοῦ πυρὸς ὑπεκκαύμασιν ἀπεῖργον αὐτὰς τοῦ προσπελάζειν τῷ τείχει καὶ τὰ παρ' ἑαυτῶν ἐνεργεῖν. ὅσοι δὲ τῇ δειλίᾳ τὴν ψυχὴν βληθέντες οὐδὲ προσβλέπειν τοῦ κακοῦ τὴν πεῖραν ὑπὸ τῆς ἄγαν ἀμηχανίας ἐξίσχυον, ἑαυτοὺς τοῦ τείχους κατὰ μικρὸν ὑποσύροντες ἐπὶ τὰς ἀκρωρείας τῆς πόλεως ἔφευγον, καὶ λοιπὸν θαρρεῖν ἐδίδουν τοῖς ἐναντίοις. ὡς γὰρ εἶδον κατά τινα τόπον τοῦ τείχους τὴν οἰκοδομὴν πλέον τῶν ἄλλων διαρρυεῖσαν, ἔνθα καὶ τοὺς ξυλίνους ἦμεν προπεπηγότες προβόλους, ἔγνων δὲ καὶ τὸ τῆς θαλάσσης ὕδωρ ἐν αὐτῷ μᾶλλον τῷ τόπῳ διὰ βάθους χωρεῖν, μίαν συζυγίαν τῶν ἐζευγμένων ἐκεῖ συνελάσαντες ὤθουν ταῖς κώπαις κατὰ μικρόν, ἕως ἔφθασαν πλησίον ἐν αὐταῖς ταῖς ἐπάλξεσι τὰ κατὰ πρώραν τῶν νηῶν προσπελάσαντες. εἶτα ὡς ἐπεχείρουν κατ' αὐτῶν λίθους βαλεῖν οἱ τοῖς ξυλίνοις ἐγκαθήμενοι προβόλοις, μέγαν τινὰ καὶ τραχὺν ἀλαλαγμὸν ἐμβοήσαντες ἄνω τῶν ῥηθέντων μηχανημάτων ἑστῶτες οἱ βάρβαροι, λίθοις τε βαλόντες οὐκέτι χειροπληθέσιν ἀλλὰ καὶ λίαν παμμεγέθεσι καὶ ὧν οὐδεὶς ἐδύνατο τὴν φορὰν ὑπομεῖναι, πῦρ τε διὰ τῶν σιφώνων τῷ ἀέρι φυσήσαντες, καί τινα ἄλλα σκεύη καὶ αὐτὰ πυρὸς ἀνάμεστα εἴσω τοῦ τείχους ἐξακοντίσαντες, εἰς τοσαύτην ἔκπληξιν καὶ δειλίαν τοὺς ἐν τοῖς προβόλοις ὄντας ἐνέβαλον ὡς καταπηδῆσαι τὸ τάχος καὶ πρὸς φυγὴν ἐκτραπῆναι καὶ κενὸν ἅπαντα τὸν περίπατον τοῦ τείχους καταλιπεῖν. ἐπειδὴ δὲ τὸ τέλος εἶδον τῶν βεβουλευμένων (πάντες γὰρ καθάπερ ἐξ ἀνέμου φύλλα πρὸς τὴν γῆν κατεφέροντο, οὐδὲ κατὰ τῶν κλιμάκων, ἀλλ' ὡς ἂν αὐτοὺς ὁ φόβος κατήπειγεν), ἕνα τινὰ τολμηρὸν βάρβαρον καὶ τῶν ἄλλων ὡς εἰκὸς μανικώτερον, Αἰθίοπα τὴν χροιάν, ταῖς ἐπάλξεσιν ἐπαφῆκαν. ὁ δὲ τὴν μάχαιραν ἣν ἐτύγχανε ταῖς χερσὶ κατέχων ἀναρριπίζων, καὶ κατὰ τοῦ τείχους ἀλλόμενος, ἐπέμενε σκοπῶν τὴν ὁρμὴν τοῦ πλήθους, εἴ γε μὴ πρὸς ἀπάτην ἀλλὰ πρὸς τελείαν φυγὴν ἐκεῖθεν ἐξέκλινε. καὶ γὰρ ὑφεωρῶντο μή τινα κεκρυμμένην ἐνέδραν ἔχωσιν οἱ τῆς πόλεως ἐν ταῖς

места, се блъснаха в стената. Те представляваха за очите на всички нова и необикновена гледка. Всяка свързана двойка от тях носеше онова измислено съоръжение на кули, направени от дървета, които надвишаваха много зида на стената. Върху тях варварите скачаха като побеснели бикове и заплашваха всички с гибел. Тогава именно тези от жителите на града, които презряха неизбежимата и така да се каже застаналата пред очите им смърт, се отдадоха изцяло на борбата и като дадоха пример за мъжество при най-голямата опасност, застанаха твърдо и се сражаваха храбро в битката. И всеки от тях проявяваше личните си качества. Защото не позволяваха на корабите да се приближат напълно и с много стрели и запалителни средства им пречеха да достигнат до стената и да извършат своето. А тези, чиито сърца бяха поразени от страх и поради голямо отчаяние не можеха дори да гледат приближаването на злото, полека-лека се смъкваха от стената и избягваха по височините на града, като с това окуражаваха неприятелите. Щом видяха, че на едно място зидът на стената е разрушен повече, отколкото другаде (там и ние бяхме построили дървени укрепления) и същевременно узнаха, че и морето на това място е дълбоко, варварите докараха там една двойка от свързаните кораби и полека я доближаваха с весла, докато дойдоха близо и допряха с носовете на корабите самите зъбери. После, когато поставените по дървените укрепления лица започнаха да хвърлят срещу тях камъни, застаналите горе, на споменатите съоръжения, варвари, нададоха голям и страшен вик. Те хвърляха вече не ръкообхватни камъни, но твърде големи, чийто удар никой не можеше да понесе, също така пръскаха във въздуха със сифони огън и хвърляха отсам стената и други съдове, също пълни с огън. Така възбудиха такъв ужас и страх у тези, които бяха по укрепленията, че те отстъпиха бързо и хукнаха да бягат, като изоставиха пуста цялата пътека по стената. Като видяха, че замислите им се увенчаха с успех (наистина всички се намериха на земята като обрулени от вятъра листа, и то не с помощта на стълбите, но така, както ги гонеше страхът), неприятелите спуснаха на зъберите един смел и естествено по-разярен от другите варварин, по цвят етиопец. А той, размахвайки меча, който беше в ръцете му, скочи на стената и се спря, като наблюдаваше устрема на тълпата, за да види [дали] са побягнали оттам за измама или действително. И наистина [варварите] подозираха да не би гражданите да

ἀγυιαῖς, δι' ἧς αὐτοὺς εἰς πολλὰ διαιρεθέντας δολερῶς κακουργήσονται, καὶ ἀμφέβαλλον τέως μὴ ἀπροόπτως οὕτως προσχωρεῖν τῇ πόλει καὶ τὰ παρ' ἑαυτῶν ἐνεργεῖν. ὅτε δὲ ταῖς ῥιπίσι τῆς βαρβαρικῆς μαχαίρας ἐξαστράπτων ὁ ἀὴρ κατάδηλον ἐποίει πανταχοῦ τῶν πολεμίων τὴν εἴσοδον (καὶ γὰρ ἦν ὥρα τρίτη τῆς ἡμέρας), τότε δὴ πάντες τοῦ κακοῦ τὴν ἔκβασιν θεασάμενοι ἐτρέποντο ἄλλος ἀλλαχοῦ, τῷ θανάτῳ συνελαυνόμενοι. ὁ δὲ ἦν ἐφεστὼς καὶ μηδεμίαν τοῦ λοιποῦ παραχωρῶν ἐπίνοιαν δι' ἧς αὐτὸν ὑπεκκλίνωσιν.

35. Εἶτα ὡς κενωθὲν τὸ τεῖχος εἶδον οἱ βάρβαροι, καὶ τὸ ἀσφαλὲς ἑαυτοῖς εἶχον ἐκ τῆς τοῦ πλήθους ἀνυποστάτου φυγῆς, σπουδῇ τῶν νηῶν ἐκβάντες καὶ τῶν ἐπάλξεων εἴσω καταπηδήσαντες τάς τε πύλας ἀναρριπίσαντες ἐδήλουν καὶ ταῖς ἄλλαις ναυσὶ τῶν πεπραγμένων τὸ πέρας, αἵτινες σπουδῇ καὶ αὗται παρὰ τὰς διεξόδους ἐγγύθεν προσορμισθεῖσαι ἔπεμπον τῇ πόλει τοὺς βαρβάρους, τὰ σώματα γεγυμνωμένους, μικρῷ τινὶ μόνῳ περιβολαίῳ τὰ κατὰ τὴν αἰδῶ ἐγκαλύπτοντας, τὰς μαχαίρας ἔχοντας ἐν χερσίν· οἳ καὶ ἔνδον γενόμενοι πρῶτον μὲν οὓς εὗρον ἔτι περὶ τὰ τεῖχος ἐνστρεφομένους, εἴτε τῷ φόβῳ βληθέντας καὶ κινηθῆναι μὴ δυναμένους παρεθέντος αὐτοῖς ἐκ τοῦ φόβου τοῦ σώματος, εἴτε πάλιν τοῖς ῥηθεῖσι πτώμασι συγκλασθέντας καὶ πρὸς τὴν φυγὴν ἀπελπίσαντας, τούτους τάχος ἀνεῖλον, εἶθ' οὕτω ταῖς λεωφόροις κατεμερίσθησαν. τὸ δὲ πλῆθος τῆς πόλεως εἰς πολλὰ μέρη τμηθὲν διεθρυλεῖτό τε καὶ συνείχετο, οὐκ ἔχον ὅπου περισωθείη ἢ τὴν συμφορὰν διακρούσηται. ἦν γὰρ ἰδεῖν τότε τοὺς ἀνθρώπους ὡς ἀκυβέρνητα σκάφη τῇδε κἀκεῖσε περιφερομένους, ἐλεεινὸν θέαμα, ἄνδρας γυναῖκας νήπια, ἀλλήλοις συμπίπτοντας, ἀλλήλων ἐκκρεμαμένους, ἀσπαζομένους τὸν οἴκτιστον ἐκεῖνον καὶ τελευταῖον ἀσπασμόν. εἴ πού τις καὶ πατὴρ ἐν αὐτοῖς πρεσβύτης, ἐπιπεσὼν τῷ τραχήλῳ τοῦ παιδὸς δεινὸν ἐπεκώκυε, τὸν χωρισμὸν οὐ φέρων, ἀλλὰ τὰ μέλη κατέχων τοῦ φιλτάτου, καὶ πρὸ τοῦ ξίφους τῷ φυσικῷ νυττόμενος πάθει τὸν θρῆνον ἑαυτῷ διετίθει, „φεῦ μοι" λέγων, „ὦ παῖ, ἐν τίσι νῦν ἐξεταζόμεθα; τίνα ταῦτα τοῖς ὀφθαλμοῖς καθορῶ; εἰς τοῦτο γάρ σε ἐπιμελῶς ἐξέθρεψα, καὶ διὰ τοῦτό σε παιδευταῖς ἐξεδόμην καὶ συνέσει διαπρέπειν ἐν τοῖς ὁμήλιξι διεσπούδασα, ἵν' ὅτε προσεδόκων ζηλωτὸς μὲν εἶναι τῇ εὐπαιδίᾳ, ἐπίφθονος δὲ τῇ ἐπὶ σοὶ καυχήσει, μακαριώτερος δὲ πολλῶν ἄλλων πατέρων ὡς τοιοῦτον ἔχων εὐπρεπέστατον τέκνον, ἐράσμιον μὲν τὴν ἡλικίαν τοῦ σώματος, ἐρασμιώτερον δὲ τοῦ προσώπου τὴν θέαν καὶ ἔτι μᾶλλον τῆς ψυχῆς τὴν ἰδέαν, τότε κατ' ὀφθαλμοὺς ἰδέσθαι τὸν ὀλέθριον τοῦτον καὶ δυστυχέ-

са устроили скришно някаква засада в улиците и с това да им причинят зло, когато се разпръснат на много места. И те за момента се колебаеха да влязат така непредпазливо и да извършат своето дело. А когато размахванинят варварски меч заблестя на слънцето и на всички стана ясно, че варварите са влезли (беше три часа през деня)[1], тогава наистина всички, виждайки дошлото нещастие, се пръснаха на различни страни, гонени от смъртта. А тя беше дошла и пречеше на всеки план, чрез който да бъде избягната.

35. После, когато видяха, че цялата стена е пуста, и се почувствуваха в безопасност поради неудържимото бягство на тълпата, варварите излязоха от корабите, скочиха между зъберите и като отвориха портите, известиха на другите кораби за успешния край. Тези кораби също така се устремиха бързо близо до изходите и изпратиха в града голите варвари, които бяха покрили срамните си части с някакво парцалче и държаха в ръце мечове. Като влязоха вътре, те бързо погубиха тези, които намериха още да се навъртват около стената, било че бяха поразени от ужас и не можеха да се движат, тъй като телата им бяха скованн от страх, или пък се бяха пребили при споменатите падания [от стената] и бяха загубили надежда да избягат. После варварите се разпръснаха из улиците. А народът на града, пръснат на много места, викаше и се блъскаше, незнаейки как да се спаси и да се измъкне от нещастието. Тогава можеше да видиш как хората се носеха насам-натам като лодка без кормило. Жалка гледка! Мъже, жени, деца падаха един другиму [в прегръдките], увисваха един другиму [на вратовете] и се целуваха с тъжната прощална целувка. Някъде стар баща, припаднал на врата на сина си, се окайваше страшно, не можейки да понесе раздялата, и, прегърнал тялото на прелюбимия си [син], плачеше със сълзи, поразен от физическа болка, преди [да бъде пронизан от] меча. „Тежко ми, дете, казваше, в какво положение сме! Какво виждам с очи? Затова ли те отгледах грижливо, затова ли те дадох на възпитатели и се грижех да са отличиш сред връстниците с разум, та когато изглеждаше, че съм благословен като родител, че ми завиждат на бащината гордост, че съм по-щастлив от много други бащи, понеже съм бил имал най-благоприличния син, с прелестно тяло, с по-прелестно лице и с още по-прелестна душа, тогава да видя с очи тази гибелна и не-

[1] Часовете са започвали да се броят от разсъмване.

στατον ἀπὸ σοῦ χωρισμόν; καὶ διὰ τοῦτο μέχρι τοῦδε τῇ δυστήνῳ ταύτῃ τετήρημαι πολιᾷ, ἵν᾽ ὑπὸ βαρβάρων ἴδω καταικιζόμενόν σου τὸ σῶμα καὶ τὰ φιλτατά μου καὶ παμπόθητα μέλη τῷ ξίφει τοῦ δημίου ἀνηλεῶς διασπώμενα; οἴμοι, τίς γενωμαι; ποίαις ὄψεσι ταῦτα κατίδω; ποῖον ἐπὶ σοὶ ποιήσομαι θρῆνον; εἴθε τοιούτου τύχομεν δημίου ὃς ἐμὲ πρῶτον τῇ μαχαίρᾳ διέλοι, ἵνα μὴ καθυστερήσας δριμυτέρας τοῦ ξίφου ἐπὶ σοὶ τὰς ἀλγηδόνας αἰσθήσωμαι. ἑνὶ τούτῳ τῷ μιαιφόνῳ χάριτας ὁμολογήσω, εἴγε τῆς σφαγῆς ἀπὸ τοῦ ἐμοῦ κατάρξηται γηραιοῦ τραχήλου· εἶθ᾽ οὕτω τῷ ἐμῷ λύθρῳ τὸ σὸν σπείσειεν αἷμα. καὶ γὰρ οὕτω τὴν πολλὴν ὀδύνην ὑποτέμοι τῷ ἐγχειρήματι".

36. *Καὶ ταῦτα μὲν οὗτος·* ἄλλοθεν δὲ πάλιν ἄλλος τις τῇ συννόμῳ γυναικὶ προστυχών, βύθιόν τι καὶ μέγα στενάξας, τὴν κεφαλήν τε κινήσας καὶ τὴν μορφὴν ἀλλοιώσας, προσδραμὼν αὐτῇ καὶ περιπλακεὶς τὴν συμφορὰν ἐτραγῴδει. „σώζου, γύναι, καὶ τοῦ συννόμου μὴ ἐπιλάθου. ἤδη γὰρ ἡ μεγάλη στοργή, ἣν πρὸς ἀλλήλους ἐθέμεθα τῇ κοινωνίᾳ τῆς φύσεως, διακόπτεται σήμερον, καὶ ξίφος καινοτομεῖ τὴν συνάφειαν, καὶ θάνατος ἄωρος τὴν συζυγίαν διίστησιν, οὐκέτι τὴν ζωὴν τῇ κοινότητι τῆς βιοτῆς ἐξανύομεν. οὐδεὶς ἡμῖν τοῦ λοιποῦ παιδοποιίας λόγος. εἴθε μηδὲ ταῦτα, ἃ νῦν ἡμᾶς περιέστηκε νήπια, τοῖς ὀφθαλμοῖς κατείδομεν ἐξ ἀρχῆς. εἴθε τῇ σορῷ ταῖς ἡμετέραις χερσὶν ἀπεδόθησαν, καὶ μὴ τοῖς θηρσὶ τούτοις εἰς δυστυχῆ δουλείαν διετηρήθησαν." εἶτα τοῖς τέκνοις ἀναμιχθέντες καὶ τὸν θρῆνον χοροστατήσαντες τὴν διαίρεσιν ἐκαρτέρουν. ἀδελφὸς δὲ πάλιν ἀδελφῷ συναντήσας καὶ φίλος φίλῳ, ὁ μὲν τὴν συγγένειαν ὁ δὲ τὴν μακρὰν συνήθειαν ἀπεκλαίετο. καὶ ἁπλῶς τῇ ἀμετρίᾳ τῶν κατὰ μέρος θρήνων κραυγῆς ἀσήμου πάντα πεπλήρωτο, ὥσπερ ἂν εἰς σφαγὴν συγκλεισθέντων προβάτων καὶ συμμιγῆ φωνὴν ἀφιέντων. οἱ μὲν γὰρ αὐτῶν πρὸς τοὺς οἴκους ἀπέτρεχον, οἱ δὲ τὰς ὁδοὺς ἀπεσκόπουν· ἄλλοι πρὸς τοὺς σεβασμίους οἴκους ἠλαύνοντο, ἄλλοι τὰς πύλας τῆς πόλεως καταλαβεῖν ἔσπευδον. ἕτεροι δὲ πρὸς τὸ τεῖχος ἀνιέναι ἐβούλοντο μέν, οὐ δεδύνηντο δὲ ὑποκλαζούσης αὐτοῖς τῆς φυσικῆς ἰσχύος τῇ προσδοκίᾳ τῶν φοβερῶν· οὐκ εἶχον γὰρ ὅπως διάθωνται πρὸς τὸ κακόν, ἀλλ᾽ὅπου περ ἂν ἔτυχον γεγονότες τῆς πόλεως, κατὰ πρόσωπον εὕρισκον ἀπαντῶντα τὸν θάνατον, ὡς μηδὲν αὐτοῖς εἶναι λοιπὸν ἀσφαλὲς πρὸς ἐπίνοιαν.

37. Ἀλλὰ πῶς ἄν σοι τοῦ λοιποῦ τὴν καθ᾽ ἡμᾶς συμφοράν, ὦ ἀνδρῶν λογιώτατε, ἢ τὴν ἐπαλληλίαν τῶν τοσούτων ἀνιαρῶν διαγράψωμαι; ποῖον τούτων πρῶτον εἰπὼν τοῖς ἄλλοις δευτερεύειν παραχωρήσω; ἐπὶ τίνι τὴν γλῶτταν κανήσω ἢ τὴν

щастна раздяла с тебе? Затова ли доживях до тази жалка старост, за да видя тялото ти разтерзано от варвари и най-скъпите му и любими части — разсечени безмилостно от меча на палача? Уви! Какво да правя? С какви очи ще гледам това? Как ще те оплача? Дано се натъкнем на такъв палач, който ще погуби с меча си първо мене, за да не изпитам заради тебе болки, по-страшни от [ударите на] меча, ако те преживея. Само на такъв убиец ще благодаря, който започне сечта от моя стар врат. После нека така с моята кръв се смеси твоята. Защото по този начин с тази си постъпка би премахнал поголямата част от мъката ми."

36. Това казваше този. Другаде пък друг някой, като срещнеше съпругата си, дълбоко въздъхваше, отмяташе глава, променяше се в лице и като се затичваше към нея, прегръщаше я и започваше да оплаква нещастието си. „Прощавай, жено, и не забравяй мъжа си. Защото днес вече се разкъсва великата любов, която ние имахме в брака си, меч разсича съюза ни и ненавременна смърт ни разделя в съпружеството. Вече не ще живеем заедно. Няма да имаме в бъдеще деца. Дано нашите очи не бяха видели от самото начало и тези деца, които са около нас. Дано със собствените си ръце ги бяхме положили в гроб, а не да ги бяхме отгледали, за да бъдат нещастни роби на тези зверове!" После се събраха с децата си и започнаха да плачат в хор, очаквайки раздялата. Ако брат срещнеше брата и приятел — приятеля, единият оплакваше родството, а другият — трайното приятелство. С една дума, от безмерните отделни ридания всичко се бе изпълнило с неясен рев, който изпълваше всичко като при затворени за клане овци, чието блеене се слива в едно. Някои тичаха към къщи, други поглеждаха към пътя. Едни се насочваха към светите храмове, други бързаха да стигнат до градските порти, трети пък искаха да се изкачат на стената, но не можеха, тъй като краката им се бяха подкосили от страх пред ужасите. Наистина те не знаеха как да постъпят срещу злото. На което и място да се намереха случайно, те виждаха изпречилата се пред очите им смърт, така че не им оставаше никаква сигурна надежда да измислят нещо.

37. Но как да ти опиша, премъдри човече, последвалото ни нещастие или редуващите се едно след друго толкова злини? С коя от тях да започна и коя да оставя на второ място? Защо да започна да говоря или да вдигна ръка да пиша? Наистина спо-

χεῖρα πρὸς γραφὴν ἐξενέγκω; ἐξιστᾷ γάρ μου τὸν νοῦν ἡ μνήμη τῶν γεγονότων, καὶ οἷον ὁρᾶν πάλιν δοκῶν τῶν λεχθησομένων τὰ πράγματα δυσεπιχείρητον τὴν περὶ τούτων ἐξήγησιν ἐπαισθάνομαι. ἡ γὰρ ἀνατύπωσις τῶν γεγονότων ὡσανεὶ πραττομένων τῇ ψυχῇ διὰ τῆς μνήμης τὸν κίνδυνον εἰκονίζουσα καὶ διαμορφοῦσα τῇ φαντασίᾳ τὰ πράγματα, τὴν ὁρμὴν τοῦ λέγειν ἐπέχειν βιάζεται. οἷα γὰρ ἦν τὰ τελούμενα τότε! οἱ μὲν πρὸ τῆς σωματικῆς τὴν τῆς ψυχῆς πλέον δεδιότες πανωλεθρίαν πρὸς τὸ θανεῖν ἐδυσφόρουν, ἀρχὴν τῶν ἐκεῖθεν κολάσεων τὸν χωρισμὸν ἡγούμενοι τὸν τοῦ σώματος· οἱ δὲ τῇ γῇ προσερείδοντες τὰ γόνατα, κρουνούς τε δακρύων ἐκβλύζοντες, ἀξίους παραδεχθῆναι τῆς κλήσεως διὰ τοῦ τοιούτου θανάτου τὸν θεὸν ἐλιτάνευον. ἄλλοι τῇ μνήμῃ τῶν ἡμαρτημένων τομώτερον τοῦ ξίφους τὸ συνειδὸς νυττόμενοι τὸν ἀναλωθέντα χρόνον ἐπὶ ματαίῳ ἀνεκαλοῦντο μεταμελούμενοι. ἕτεροι μηδὲν τοιοῦτον ἐνεργῆσαι δυνάμενοι, ἀλλὰ τὸν λογισμὸν προδόντες τῇ ἀγωνίᾳ ἵσταντο τρομώδεις, δίκην ἀψύχων δένδρων τὴν τομὴν ἀναμένοντες. ἄλλοι δὲ καθάπερ οἴστρῳ τῷ φόβῳ πληττόμενοι ἀκάθεκτοι ταῖς ὁρμαῖς ἦσαν· ἐξ ὧν καὶ πλεῖστοι πρὸς τὸ ἐκτὸς τοῦ τείχους ἀσυλλογίστως ἑαυτοὺς ἀκοντίσαντες ἢ τῷ πτώματι τὴν ζωὴν συνεπέραναν ἢ τοῖς ἐκεῖσε στρεφομένοις βαρβάροις ἑαυτοὺς ἐνεχείρισαν.

38. *Τί δὲ τῶν γυναικῶν εἴπω πρῶτον, οἷς καὶ αὐτὸν τὸν ἀέρα συνθρηνεῖν αὐταῖς ἐβιάζοντο, ἤγουν τὰς ἀνακλήσεις, τὰς οἰμωγάς, τῶν τέκνων τὰς περιπλοκάς; οὐδ᾽ εὐσχημονεῖν ἔτι βουλόμεναι νικηθεῖσαι τῷ πάθει, οὐδὲ τῆς ὄψεως τῶν ἀνδρῶν ἑαυτὰς ὑπεκκλίνειν, ἀλλ᾽ ἀναιδῶς φερόμεναι, τὰς κόμας ἔχουσαι λελυμένας καὶ τῶν πρὸς συστολὴν ἀμελήσασαι, ἤγοντο συνεκβοῶσαι τοῖς θρήνοις καὶ τοῦ κινδύνου καταστενάζουσαι. εἴ που καὶ παρθένος ἐν αὐταῖς, ἡ μήπω τῆς οἰκουρίας προβᾶσα ἀλλ᾽ ἀσφαλῶς τηρουμένη τῷ γάμῳ καὶ σεμνότητα πᾶσαν δεδιδαγμένη, τὴν αἰδῶ ὄψεως περιάρασα, καὶ μηδ᾽ ὅτι γυνὴ τυγχάνει τῷ δέει λογιζομένη, διῄει τῆς ἀγορᾶς ἐν μέσῳ, ταῖς ἄλλαις γυναιξὶ κοινωνοῦσα τοῦ θρήνου καὶ δεινὸν ἀλαλάζουσα. μονασταὶ δὲ καὶ μονάζουσαι, ὅσοι τὴν προσπάθειαν τοῦ βίου κομιδῇ νέοι ὑπάρχοντες τῷ φίλτρῳ τῆς ἀρετῆς ἀπεσείσαντο, ἑαυτοῖς μόνοις καὶ θεῷ ζῶντες, τῶν ἀσκητηρίων ἐκβάντες καὶ ταῖς πλατείαις διασπαρέντες τῆς πόλεως τὸν κοινὸν ὄλεθρον γοερῶς ἐκλαυθμύριζον. ἐξ οὗ δή μοι καὶ θάμβος ἐπέρχεται, ὅταν κατὰ νοῦν λάβω τὴν ποικίλην καὶ διάφορον ἀρετὴν τῶν*

менът за станалото смущава духа ми. Струва ми се, че виждам отново пред очите си нещата, за които ще говоря, и изпитвам затруднение да разказвам за тях. Когато предавам миналите събития, [аз ги виждам] като сега ставащи, споменът [за тях] рисува пред мен опасността, а въображението възстановява образите на нещата и това силно възпира устрема на речта. Наистина какви работи станаха тогава! Едни, които се бояха повече от гибел на душата, отколкото на тялото, защото смятаха, че с отделянето [на душата] от тялото ще започнат бъдещите наказания, мъчно се решаваха да умрат. Други, паднали на колене и леейки потоци сълзи, пред опасността от такава смърт молеха бога да ги удостои и повика [при себе си]. Трети, които си спомняха греховете, бяха наранени от съвестта си по-остро, отколкото с меч, и в разкаянието си търсеха да си възвърнат напразно пропиляното време. Някои, които не бяха в състояние да извършат нищо подобно, си бяха загубили ума от страх, стояха разтреперани и като бездушни дървета очакваха посичането си. Други пък, подгонвани от страха като от стършел, тичаха неудържимо. Мнозина по глупав начин скочиха от стените навън, като загиваха при падането или попаднаха в ръцете на намиращите се там варвари.

38. А с какво да започна разказа си за жените, които караха и самия въздух да им приглася на плача — дали с виковете за помощ, с плачовете им или с прегръщането на децата? Убити от мъка, те не искаха вече да спазват благоприличието, нито да се крият от погледа на мъжете, но се носеха [по града], без да се срамуват, с разпуснати коси, пренебрегвайки всяко приличие, и плачеха със сълзи, окайвайки своето нещастие. Някъде между тях [се виждаше] и девойка, която още не бе напускала дома, но бе строго пазена за брак и бе обучавана на всяка скромност. Тя, отхвърлила от лицето си свенливостта и не съобразявайки от страх, че е жена, минаваше през сред площада, като лееше заедно с другите жени сълзи и се вайкаше страшно. И монасите, и монахините, които още като млади от любов към добродетелта бяха изоставили напълно съблазните на живота и живееха само за себе си и за бога, излязоха от своите скитове и се пръснаха по улиците на града, като оплакваха жално общата гибел. Затова ужас ме обзема, когато помисля как многоликата и различна добродетел на тези наза-

Ναζηραίων ἐκείνων, ἣν καταμόνας ἐφιλοπόνουν, ἤτοι τὴν πάννυχον ψαλμῳδίαν καὶ τὴν ἱερὰν παρθενίαν τήν τε ἐκτενῆ προσευχὴν καὶ τὸ ἀκατάπαυστον δάκρυον, πῶς τὴν πρὸς ἡμᾶς θείαν οὐ... συμπάθειαν, πῶς οὐ κατηγγυήσαντο τὴν πόλιν, πῶς οὐχ εὗρον ἔπαθλον ἀρετῆς τὴν ἀποφυγὴν τοῦ κινδύνου, συνελήφθησαν δὲ μᾶλλον καθάπερ ἀνεπισκόπητα πρόβατα, πάντες τῆς μαχαίρας γεγονότες καὶ τῷ κλήρῳ τῶν ἁμαρτωλῶν τῆς σφαγῆς κοινωνήσαντες. — — — (pp. 521,19—542,15).

39. *Ὡς γὰρ κατὰ πᾶσαν εἰσελθόντες διεμερίσθησαν τὴν πόλιν οἱ βάρβαροι, εὐθὺς πᾶσα ἡλικία καὶ πᾶν γένος ἀνθρώπων ὑπ᾽αὐτῶν ἀνῄρητο. οὐδὲ γὰρ ἦν οἶκτος αὐτοῖς οὐδεὶς πάλαι προμεμηνόσι καὶ τὴν καθ᾽ ἡμῶν διψῶσιν ἀπώλειαν, ἀλλὰ καὶ γέρων καὶ ἀκμάζων ἔτι καὶ νεανίσκος καὶ πᾶς ὁ προστυχὼν ἔργον τοῖς μιαιφόνοις ἦν, οὐδὲ καιρίας κατ᾽αὐτῶν ἀφιεῖσι πληγάς, ἀλλ᾽ὡς ἂν αὐτοὺς ἐνδιατρίβειν ποιῶσι τοῖς ἀλγεινοῖς, τὰ πρὸς τὸν νῶτον μέρη καὶ τοὺς μηροὺς κατατέμνοντες σχολάζειν αὐτοὺς τῇ τελειώσει παρεβιάζοντο. καὶ οὐδ᾽οὕτως ὁ πολιορκῶν αὐτοὺς ἐνεπίμπλατο θυμός, ἀλλ᾽ὅτι μὴ πολλάκις δύνανται θνήσκειν μανικῶς ἐδυσφόρουν. ἵνα γὰρ τὴν θηριώδη καὶ ἀδάμαστον ἐκείνην ὄρεξιν ἐμφορήσωσιν, οὐδὲ γυναικῶν ἐφείσαντο κατ᾽ ἀρχὰς τοῦ κινδύνου, οὐδὲ παίδων αὐτῶν, ὧν τὸ τῆς ἡλικίας ἄωρον ἄγειν βιάζεται πολλάκις καὶ θηρῶν ὀφθαλμοὺς εἰς συμπάθειαν· ἀλλ᾽ἦν ἐπ᾽ἴσης ἅπασιν ἡ τομή, καθάπερ ἐν χλοηφόρῳ πεδίῳ, πᾶν τὸ παρατυχὸν ἐκθερίζουσα, ὡς ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἄοικον ἀποδειχθῆναι τὴν πόλιν τὴν πρὸ μικροῦ στενοχωρουμένην καὶ τοῖς πλήθεσι βρίθουσαν. καθὸ γὰρ φθάσαντες εἴπομεν, τὸ μὲν τοῦ δήμου τὰς ἀκρωρείας κατειλήφει κατὰ τὴν καλουμένην ἀκρόπολιν συνελαθέν, ἢ τὴν περιοικίδα τοῦ ὁσίου Δαβὶδ ὀνομαζομένην (τοῦτο γὰρ μᾶλλον τῆς λοιπῆς ὑπερανέχουσι πόλεως, ἔνθα δὴ καὶ πλῆθος ἦν μοναχῶν ἐναρέτων πάντων καὶ τῆς οὐρανίου πολιτείας ἠξιωμένων), τὸ δὲ πάλιν ταῖς δυσὶ πύλαις προσερρύη ταῖς πρὸς δύσιν ἀφορώσαις τῆς πόλεως, μίαν ἐχόντων πάντων σπουδήν, τοῦ ξίφους διεκφυγεῖν τὴν τομήν. ἀλλ᾽ οὐδὲν πλέον τῶν ἄλλων διήνυον, τῶν πυλῶν ἐκτὸς τῶν βαρβάρων ἐφεδρευόντων, καὶ μηδ᾽ἄλλως ἔχοντες εὐχερῶς ὑπερβῆναι τῷ συνωθισμῷ πιέζοντες ἀλλήλους καὶ τὴν διέξοδον ἀποφράτ-*

ряни[1], която те култивираха в осамотението си, или всенощното псалмопение, святата им девственост, усърдните им молитви и непрекъснатите сълзи не [можаха да измолят] за нас божието милосърдие, как не запазиха града, как [самите те] за награда на добродетелта си не получиха спасение от опасността, а, напротив, бяха хванати като безпастирни овци и станаха плячка на мечовете и заедно с грешниците бяха подложени на сеч. — —

39. Защото, когато нахлуха и се пръснаха по целия град, варварите веднага започнаха да погубват хора от всяка възраст и произход. Отдавна разярени и жадуващи за нашата гибел, те нямаха никаква милост. Всеки срещнат човек — и стар, и все още млад, и дете — ставаше жертва на убийците. И варварите не им нанасяха смъртоносни удари, но като им посичаха ръцете и краката, оставяха ги да умират бавно, за да ги накарат да се измъчват по-дълго. Но обхваналата ги ярост не бе задоволена и по този начин и те беснееха от това, че хората не могат да умират няколко пъти. За да задоволят тази [си] зверска и неукротима жажда, те от началото на нещастието не пощадяваха нито жените, нито самите деца, чиято крехка възраст кара често и очите на зверовете да проявяват състрадание. Но сечта поразяваше еднакво всички, както се коси всичко наред в зелената поляна, така че градът, който преди малко бе гъсто населен и тесен, за кратко време опустя[2]. Както успяхме да кажем, част от народа можа да стигне и се скрие на височините при така наречения акропол[3] или в съседство с така назования Свети Давид (тази част се издига повече над останалия град и там имаше множество монаси, всички добродетелни и удостоени с блажен живот), а друга част се втурна към двете врати, които бяха на западната част на града. Всички имаха единствена грижа, а именно да избягнат удара на меча. Те обаче нямаха по-голямо щастие от другите, тъй като варварите дебнеха отвън вратите, пък и изобщо не можеха да преминат лесно, понеже в блъсканицата се тъпчеха взаимно и

[1] Тук „назарянин" е употребено в значение на „чист християнин". Като обозначение на монах, вж. *Ив. Дуйчев*, Из старата българска книжнина, II, София, 1944, стр. 140. *Fr. Dölger*, Aus den Schatzkammern, 37, 23. [2] Населението на гр. Солун тогава наброявало вероятно около 220 000—300 000 жители. Тази цифра може да се установи, ако се приеме, че арабите са отвлекли всички млади жители, които са представлявали 1/10 част от цялото население. А според арабския историк Сибт ал-Джаузи числото на пленените солунчани достигало 30 000. При преброяването на пленниците в о. Крит според Камениат били останали само 22 000. Срв. *Иоанн Камениата*, Взятие Фессалоники, стр. 240—241, бел. 1 към гл. 73, и посочената там литература; *G. Finlay*, A history of Greece from its conquest by the Romans to the present time, II, Oxforde, 1877, p. 267, n. 1; *A. Struck*, Die Eroberung, p. 542; *Василев*, Византия и арабы, Приложение, стр. 24. [3] Солунският акропол представлявал укрепен продълговат хълм на североизточния ъгъл на градската стена с крепост Хептапиргион (Едикуле). Той имал три врати: една за града, друга, наречена Палеологова, и трета, която извеждала извън града. През последната вероятно са избягали славянските водачи. Вж. ВИИНЈ, I, стр. 271, бел. 15.

τοντες. (40) *οἷον γὰρ ἐγεγόνει κακὸν κατὰ τὴν καλουμένην Χρυσῆν πύλην! πῶς παρανοῖξαι ταύτην βουληθέντες μικρόν, ὅσοι τοῦ δήμου τῷ τόπῳ συνερρύησαν διήμαρτον τῆς ἐπιχειρήσεως! μόνον γάρ ὅτι τὰς πύλας ἀλλήλων διέστησαν, καὶ τῷ ἰδίῳ πιλήματι πάλιν ἐν ἑαυταῖς συνδραμεῖν αὐτὰς κατηνάγκασαν· οὕτω δὲ ἔχοντας αὐτοὺς καταλαβόντες οἱ δυσμενεῖς οὐκέτι καθ'ἕνα τοῖς ξίφεσιν ἀνῄρουν, ἀλλ'ὡς εἶδον συνεσφιγμένους ἀλλήλων τε ἐχομένους καὶ ἐκτραπῆναι μὴ δυναμένους, κατὰ κόρρης αὐτοὺς τοῖς ξίφεσιν ἔπαιον, ὡς μετὰ τὴν πληγὴν διαιρεῖσθαι τοῦ προστυχόντος τὴν κεφαλήν, καὶ τοῖς ὁμοίοις τῇδε κἀκεῖσε τὰ μέρη συμπίπτειν, καὶ μηδὲ μετὰ θάνατον τῇ γῇ δίδοσθαι ἀλλ'ἔτι παρακρατεῖσθαι τοῖς λοιποῖς σώμασιν, ἕως πάντων ἀναιρεθέντων, καὶ ὥσπερ τοῦ ὑποστηρίζοντος, τῆς ἁπάντων λέγω ζωῆς διαδράσης, αἵματος ἀλλήλων καθάπερ καὶ τῆς τελευτῆς κοινωνήσαντα.*

41. *Τὸ δ'αὐτὸ τοῦτο καὶ περὶ τὴν ἄλλην πύλην, ἣν καλοῦσι Λιταίαν, πραχθῆναι συνέβη. καθὼς γὰρ ἔφαμεν, τῶν ἄλλων τὰς μὲν πρὸς θάλασσαν ἐξαγούσας αὐτοὶ προκατεῖχον οἱ βάρβαροι, τὰς δέ γε πρὸς ἀνατολὴν ἀφορώσας ἡμεῖς προαποκλείσαντες ἦμεν, τὴν τοῦ πυρὸς μηχανὴν ἣν κατὰ τῶν ἔξω τοῦ προτειχίσματος πυλῶν προπεπόνθαμεν, καὶ ἐν αὐταῖς ὑφορώμενοι, ὡς λοιπὸν ἐκ τούτων πανταχόθεν ἀποροῦντα τὸν δῆμον πρὸς τὴν φυγὴν περὶ τὰς ἀγυιὰς μόνον εἰλεῖσθαι καὶ ἁπανταχοῦ τῷ θανάτῳ προσπίπτειν. σχεδὸν γὰρ ὀλίγοι, καὶ λίαν ὡς εἰκὸς εὐαρίθμητοι, κατὰ τὸ δυτικὸν μέρος τοῦ λιμένος ἑαυτοὺς τῶν τειχῶν ἀκοντίσαντες τὸν κίνδυνον ὑπεξέφυγον· καί τινες ἄλλοι τῆς κατὰ τὴν ἀκρόπολιν πύλης λάθρα ὑπεκδραμόντες πρὸ τοῦ τὴν συμφορὰν ὑφεστάναι διεσώσαντο τὴν ζωήν. οὗτοι δὲ ἦσαν οἱ τῶν Σκλαβήνων ἡγούμενοι, πάλαι προμελετήσαντες τοῦτο καὶ τὰς κλεῖδας τῶν πυλῶν ἐκείνων προϋφελόμενοι. οὓς καὶ ἐχρῆν, τὴν ἀκμὴν τοῦ κακοῦ θεασαμένους, παντὶ τῷ προστυχόντι παραχωρῆσαι τὴν ἔξοδον· οὕτω γὰρ πολλοὶ τῶν αὐτόθι λαχόντων, πρὸ τοῦ τοὺς βαρβάρους ἐπελθεῖν, τὸν θάνατον ὑπεξέκλιναν ἄν. οἱ δὲ τοιοῦτον μὲν οὐδὲν οὐδὲ εἰς νοῦν λαβεῖν ἠνέσχοντο· ἀεὶ δὲ τὸ οἰκεῖον προορώμενοι, καὶ ὅπως τὸν κίνδυνον διακρούσονται κἀν τούτῳ διασκεψάμενοι, τὰς πύλας μικρὸν παρανοίξαντες καὶ τὴν ὑπεκδρομὴν τομῶς ποιησάμενοι, ἕνα τινὰ τῷ τόπῳ καταλιπόντες πρὸς τὸ μετὰ τὴν ἐκείνων ἔξοδον καὶ αὖθις ταύτας συγκλεῖσαι, οὕτω τῆς πάντων ἐπεβουλεύσαντο σωτηρίας καὶ τότε, πρόφασίν τινα δολίαν πλασάμενοι, ὡς οὐ πρὸς φυγὴν ἐκτρέπονται, πρὸς ὑποδοχὴν δὲ μᾶλλον τῶν*

си препречваха изхода. (40) Какъв ужас се получи при Златната врата! Как тези от народа, които се бяха стекли на мястото и искаха да отворят вратата, се излъгаха, когато се опитаха! Защото едва крилата се открехнаха и те със собствения си натиск ги накараха да се затворят. Враговете ги нападнаха в това положение и не ги погубваха с мечовете си поединично, но като ги видяха струпани непосредствено един до друг, без да могат да се обърнат, удряха ги с мечовете в лицето, така че след удара главата на изпречилия се се отделяше и ту-тук ту-там падаше заедно с други. И мъртвото тяло не се свличаше на земята, но се крепеше от другите тела, докато бяха погубени всички. Като че ли някой ги подпираше, докато не излезе душата на всички, за да се приобщят в общата кръв и смърт.

41. Същото това се случи и при другата врата, която се нарича Литейска. Защото, както казахме, варварите завладяха вратите, които водеха към морето, преди другите, а тези, които бяха на изток, тях ние предварително ги бяхме заключили, защото и там се опасявахме от хитростта с огъня, която бяхме изпитали по-рано при външните врати на предното укрепление. Така че народът, който беше отвсякъде затворен, после само бягаше по улиците и навсякъде срещаше смъртта. Защото само малцина, които, разбира се, можеха да се преброят на пръсти, скочиха от стените в западната част на пристанището и избягнаха опасността. И други някои тайно избягаха през вратата при акропола, преди да настъпи нещастието, и си спасиха живота. Това бяха водачите на славяните, които бяха замислили от по-рано да постъпят така и предварително бяха взели ключовете на вратите. Като видяха силата на нещастието, те трябваше да позволят на всеки, който се случеше там, да излезе. Така множина от ония, които се намираха там, биха избягнали смъртта, преди още да дойдат варварите. Но [славяните] не искаха дори да разберат подобно нещо, а винаги се грижеха за себе си и как да избягнат опасността. И мислейки само за това, те приотваряха малко вратите и бързо изтичваха навън, като оставяха на това място едного, който да ги затвори отново след тяхното излизане. По този начин те и тогава злоумишляваха против общото спасение, като измислиха някакъв лукав предлог, че уж не бягали, но по-скоро отивали да посрещнат

Στρυμονιτῶν συμμάχων, τοῦ στρατηγοῦ δῆθεν τοῦτο προστάξαντος.

42. *Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ξιφήρεις οἱ βάρβαροι ταῖς πύλαις ἐπέστησαν, καὶ οὐκέτι δυνατὸν ἦν οὐδὲ προσβλέψαι μόνον ἐκτὸς ἀκινδύνως τινά, μήτοι γε τὸν κίνδυνον ὑπαλύξαι. κἀγὼ γὰρ αὐτὸς σὺν τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς (δύο δέ μοί εἰσιν οὗτοι νεώτεροι, τῆς ἐμῆς ἡλικίας ὑποβεβηκότες, οἱ μέχρι τοῦ δεῦρο τῆς τε φρουρᾶς καὶ τῶν λοιπῶν ἀλγεινῶν μοι συγκοινωνοῦντες) κατ᾽ αὐτὴν τὴν ὥραν παρόντες εὑρέθημεν ἐν τῷ τόπῳ μετὰ καί τινων ἄλλων τῶν ἀπὸ τῆς πόλεως οὐκ ὀλίγων. καὶ ὡς ἤδη τὴν πονηρὰν ἐκείνην ὑπέστημεν ἐπιβολήν (μετὰ γὰρ τὸ πραχθῆναι τὴν σκῆψιν τὸ συμβὰν ἐπεγνώκειμεν), ὀπισθόρμητοι πάντες, ἕκαστος ἡμῶν ὡς εἶχε τάχους, πρὸς τὴν πόλιν συνηλαυνόμεθα, ἄλλος ἀλλαχοῦ διαιρεθέντες καθὼς ἂν ἦγεν ἡ συμφορά, τοῦ φόβου διατιθεῖσα τὰ σχήματα. ἔδοξεν οὖν τῷ τε πατρὶ καὶ ἡμῖν, μήπω πεφθακότων πρὸς ἡμᾶς τῶν βαρβάρων, εἴς τινα πύργον τῶν κατὰ τὸ ἐνδότερον τεῖχος ἀνιέναι τέως καὶ μὴ τῷ πλήθει συναναμίγνυσθαι, ὡς ἂν τῶν πολεμίων τυχὸν ἐπιστάντων, τῶν ἄλλων διαιρεθέντες καὶ μόνοι τούτοις κατὰ τῶν ἐπάλξεων ἐντυγχάνοντες, δυνηθῶμέν τινα πρεσβείαν τούτοις προσαγαγεῖν καὶ τὴν ζωὴν ἑαυτοῖς διασώζεσθαι. ὃ δὴ καὶ γέγονε τῇ θεϊκῇ προνοίᾳ. τὸ δ᾽ ὅπως καὶ μεθ᾽ οἵας παραδοξοποιοῦ δυνάμεως, λέξων ἔρχομαι.*

43. *Ἀνήλθομεν ἐν τῷ τείχει σπουδῇ θέοντες κατά τινα πρόβολον ἀντικρὺ τοῦ ἐκεῖ σεβασμίου σηκοῦ τοῦ πρωτοκλήτου τῶν ἀποστόλων Ἀνδρέου. πέντε δὲ ἦμεν οἱ πάντες ὁμοῦ, ὁ πατὴρ ὁ ἐμὸς κἀγὼ σὺν τοῖς ῥηθεῖσι δυσὶν ἀδελφοῖς καί τις ἑτέρως μετέχων καὶ αὐτὸς τῆς ἡμῶν ἀγχιστείας, κληρικοὶ πάντες καὶ τῷ τῶν ἀναγνωστῶν διαπρέποντες τάγματι.* — — — (pp. $543_{,4}$—$547_{,8}$).

45. *Ἐν ὅσῳ δὲ ταῦτα πρὸς ἡμᾶς διελέγετο καὶ συμπεσόντες ἀλλήλοις τὰ τελευταῖα συνεταττόμεθα, ἰδοὺ δὴ καὶ τῶν βαρβάρων κατεφάνησάν τινες ἀνιόντες, τὸν ἀριθμὸν οὐκ ὀλίγοι, Αἰθίοπες τὴν χροιάν, τὰ σώματα γεγυμνωμένοι, ἐσπασμένας ἔχοντες τὰς μαχαίρας, δεινὸν ἐξαλλόμενοι καὶ τῇ παραθήξει τῶν*

съюзниците стримонци, тъй като това уж им бил заповядал стратегът[1].

42. След малко варвари, въоръжени с мечове, застанаха до вратите и не беше възможно за никого дори да погледне само навън безопасно, камо ли да избегне опасността. И аз сам с баща си и братята си (имам двама по-млади от мен братя, които и досега споделят с мен пленничеството и останалите мъки) се намерихме в същия час на това място заедно с мнозина други от града. И щом узнахме за коварната постъпка [на славяните] (ние се бяхме научили за станалото веднага, след като то бе извършено), всички се пръснахме на различни страни, като се втурнахме към града, и всеки тичаше с всички сили, като че ли го гонеше нещастието с призрака на ужаса. Баща ми и ние решихме, докато варварите не са дошли при нас, да се изкачим за момента в някоя от вътрешните кули на стената и да не се смесваме с тълпата, та когато случайно неприятелите дойдат и ние им се изпречим при зъберите сами, отделно от другите, да можем да влезем във връзка с тях и да си запазим живота. Това и стана по божия промисъл. Сега ще ти разкажа как и с какво невероятно усилие стана това.

43. Тичайки бързо, ние се възкачихме на стената към едно укрепление срещу намиращия се там свети храм на първозвания апостол Андрей. Всички общо бяхме петима: баща ми и аз със споменатите двама братя и един друг, и той наш родственик, всички клирици и изтъкнати лица от съсловието на четците[2]. — — —

45. Докато баща ни ни говореше така и ние се прощавахме, пригърнали се един-други, ето показаха се някои от варварите, които се изкачваха. Бяха немалко на брой, по кожа етиопци и с извадени мечове. Те подскачаха страшно и проявяваха беса си,

[1] Това са славяни от Солунската тема, които се оправдавали с някаква заповед на солунския стратег да посрещнат стримонци. *Златарски*, История, I, 2, стр. 331—341, застъпва гледището, че държането на славянските водачи в Солун и на стримонския стратег се е налагало от съществуващите отношения със Симеонова България. Стримонският стратег действувал като оръдие на Симеона, който искал да присъедини и останалите славяни, които се намирали под византийско влияние, а също да засели Солун със славяни. Тъй като Византия била добре осведомена за силата на българското влияние върху славяните, Златарски твърди, че и двамата императорски пратеници — Родофил (тук гл. 59) и Симеон (тук гл. 64) — са имали за цел да повлияят, макар и със закъснение, с пари и дарове на българите за борба срещу арабите. При преговорите между българите и византийския представител Лъв Магистър (Хиросфакт) Симеон получил срещу отказа си да завземе Солун териториални отстъпки. За това говорели и двата погранични стълба, намерени на 22 км северно от Солун, при с. Нариш, които били поставени в същата 904 г. Същото държане на славяните *Dvornik*, Les Slaves, p. 502, n. 2, обяснява с падането на престижа на империята в очите на подчинените ѝ съюзени славяни, а *Lemerle*, Philippes, p. 154, n. 5 — с независимостта на един стратег от друг и с фиктивната им власт над славяните. *Рајковић*: ВИИНЈ, стр. 272, бел. 16, се отнася критично към предположенията на Златарски; *Р. А. Наследова*, Македонские славяне, стр. 88—92, смята, че Родофил изпратил парите на стримонския стратег, който бил славянин, за да го склони да помогне. Всичко това си остава само предположения поради факта, че стримонският стратег върнал парите. [2] Четците са били от нисшия клир. В йерархическата стълбица са преди иподяконите. Вж. *Иоанн Камениата*, Взятие Фессалоники, стр. 236, бел. 2 към гл. 55.

ὀδόντων συῶν δίκην τὸ μανικὸν ἐνδεικνύμενοι. ἐφεστῶτες οὖν τῷ τόπῳ πρῶτον τοὺς μεθ' ἡμῶν ὑποστρέψαντας ἀπὸ τῆς τῶν πυλῶν κακούργου συγκλείσεως, αὐτοῦ που παρὰ τὸ τεῖχος εἱλουμένους, τοῖς ξίφεσιν ἐκείνοις διεχειρίσαντο· οἷς οὐδὲν ἦν πρὸ τούτου πλέον μελετηθὲν ἢ μόνον τῇ δεξιᾷ τοῦ δημίου τὸν αὐχένα ὑπέχειν καὶ πρὸς τὴν τομὴν σχηματίζεσθαι. καὶ ἦν ἰδεῖν τὸ πραττόμενον ἐκπλήξεως γέμον. εἰ γὰρ τῷ εὐπειθεῖ τοῦ ἑαυτὸν προδόντος καὶ πρὸς τὸν θάνατον ὑποκλίνοντος ὁ φονεὺς κατενύγη, καιρίαν ἄγων θᾶττον αὐτὸν τῶν ἀλγηδόνων ἀπόλλαττεν· εἰ δὲ μὴ ἐμαλάχθη τὴν λιθώρη καρδίαν, ἀλλ' ἤθελεν ἐντρυφᾶν τῆς μανίας, μᾶλλον τοῖς τῶν ἁλόντων ἀτυχήμασι τὸν θυμὸν διεγείρων, μεληδὸν κατήκιζε τὸ προστυχὸν σῶμα καὶ πολλῶν θανάτων φορὰν ἐν μιᾷ συμφορᾷ τῷ δειλαίῳ παρείχετο. οὐδὲν δὲ ἕτερον ἦν ἀκούειν ἐν οὕτω παμπληθεῖ καὶ πολυανθρώπῳ δήμῳ, ἀλλ' ἢ μόνον τὸν συριγμὸν τῶν ξιφῶν καὶ τῶν τοῦ αἵματος ὀχετῶν τὴν μετὰ βίας ἔκρουσιν. (46) *οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ πάντες ἔκειντο θέαμα πολλῶν ὀδυρμῶν καὶ θρήνων ἐπάξιον. ὡς δὲ καὶ πρὸς ἡμᾶς ἔφθανεν ἡ τομὴ (τῷ τείχει γὰρ εἶδον συγκεκυφότας), ἐφώρμησαν ὁμοθυμαδὸν καθάπερ εἴς τι πρόχειρον θήραμα. φθάσαντες δὲ πλησίον τὴν ὁρμὴν ἐπέσχον. ἦν γὰρ ὁ ῥηθεὶς ἐν τῷ μεταξὺ πύργος, δι' οὗ διελθεῖν ἔμελλον καὶ πρὸς ἡμᾶς γενέσθαι, ὃς πάλαι ἦν τὸ ἔδαφος ἅπαν ξύλοις ἐστρωμένος, ἅτινα τῷ χρόνῳ σαπέντα καὶ διαρρεύσαντα οὐκ ἀσφαλῆ παρεῖχον τὴν ἐκεῖθεν διάλασιν· δύο γὰρ μόνα κατὰ μέσον ξύλα ἐναπηώρηντο δι' ὧν οἱ ταύτην διερχόμενοι ὑπότρομον τὴν πάροδον ἐπεποίηντο. τὸ ἀμφίκρημνον οὖν τοῦ κινδυνώδους τόπου κατιδόντες οἱ βάρβαροι ἐφώρασαν μή πως ἐν μέσῳ τῶν ξύλων γενομένων αὐτῶν λάθωμεν τεχνάσματα πεποιηκότες εἴσω τοῦ πύργου καὶ κρημνισθῆναι τούτοις παρασκευάσωμεν, εἰς ὕψος ἐπηρμένου πολὺ καὶ χαλεπὴν τὴν πτῶσιν ἐπαπειλοῦντος. τοῦτο δὲ ὁ τῶν θαυμασίων θεὸς ταῖς αὐτῶν διανοίαις ὑπέβαλεν· εἰ γὰρ ἅμα τῷ πρὸς ἡμᾶς γενέσθαι τολμῶς τῆς διαβάσεως κατετόλμησαν, οὐδὲν ἧττον καὶ ἡμεῖς τῶν κειμένων τὸν ὄλεθρον ὑπεμένομεν. τῆς σχολῆς τέως τῆς τῶν λογισμῶν αὐτῶν διαιρέσεως, τοῦ φόβου τὰς ψυχὰς ἕκαστος ἡμῶν περιάραντες, εἴ τι καὶ δέοι πράττειν τῷ καιρῷ χρήσιμον ταῖς φρεσὶ κατεμενιζόμεθα. ὡς οὖν εἶχον ἐγὼ τάχους ἀναπηδήσας καὶ θανάτου καταφρονήσας καὶ μηδ' ὅ τι κατὰ κόρρης ἐφέστηκε τὸ παράπαν ἐν νοῦν θέμενος, κατ' αὐτὴν γενόμενος τοῦ πύργου τὴν εἴσοδον ἔμελλον διὰ τῶν ξύλων πρὸς τοὺς βαρβάρους χωρεῖν. οἱ δ' ἐπειδὴ οὕτω με θαρσαλέως πρὸς αὐτοὺς κατεῖδον αὐτομολήσαντα, ἄοπλον μὲν καὶ πρὸς ἄμυναν οὐδὲν ἐπιφερόμενον, ἔχοντα δέ τι σπουδαῖον*

точейки зъби като глигани. Като се спряха тук, най-напред посякоха с мечовете си тези, които се бяха върнали заедно с нас от злодейски заключената врата и бяха дошли тук, близо до стената. На тях не им оставаше нищо друго освен да подложат врат под ръката на палача и да се приготвят за посичане. И можеше да се види картина, изпълнена с ужас. Ако убиецът биваше трогнат от покорността на предалия се и излагащ се на гибел човек, той му нанасяше бързо смъртоносен удар и го освобождаваше от мъките. Ако ли каменното му сърце не се смекчаваше, но искаше да насити своята ярост, той още повече се възбуждаше от мъките на пленниците и като отсичаше постепенно членовете от тялото на изпречилия му се човек, караше окаяния да умира много пъти при едно злощастие. Нищо друго не можеше да се чуе при тази голяма и многолюдна тълпа освен звъна на мечовете и силното шуртене на потоците кръв. (46) Не след много време всички бяха паднали — гледка, достойна за много плач и сълзи. А когато дойде ред да заколят и нас (видели ни бяха, че сме се сгушили на стената), варварите се втурнаха едновременно като към някаква лесна плячка. Когато дойдоха по-наблизо, те задържаха устрема си. Между нас и тях се намираше споменатата кула. Те трябваше да минат през нея, за да дойдат при нас. Целият ѝ под беше отдавна постлан с греди, които се бяха разпаднали и изгнили от времето и не им позволяваха да преминат безопасно по тях. Защото по средата висяха само две греди, които правеха преминаването рисковано. Варварите, виждайки стръмното и опасно място, заподозряха да не би да сме устроили тайно вътре в кулата клопка и да сме се приготвили да ги съборим, когато се намерят по средата на гредите, тъй като кулата беше висока и имаше опасност падането да бъде тежко. Чудотворният бог им вдъхна това опасение. Защото, ако се бяха решили да минат веднага, щом се бяха доближили до нас, сигурно и нас щеше да ни сполети участта на падналите. Докато те се колебаеха, ние всички се съвзехме от страха и обмисляхме дали не бихме могли да направим нещо полезно за момента. Аз изскочих с възможната най-голяма бързина и пренебрегвайки смъртта, без да мисля изобщо какво беше извършено пред очите ми, се намерих при самия вход на кулата и поисках да отида по гредите до варварите. А те, като видяха, че аз така смело тичам при тях, невъоръжен и нямащ нищо за защита, но желаещ да им каже не-

εἰπεῖν, ἐπῆλθον καὶ αὐτοὶ στοιχηδὸν ἀλλήλους συντάξαντες καὶ τὰς δεξιὰς ἀνατείναντες, τάς τε μαχαίρας κατὰ τῆς ἐμῆς κορυφῆς ἐπαγαγεῖν σχηματισάμενοι. ὡς δ᾿οὐδὲ τοῦτό με τέως καταπτῆξαι πεποίηκεν (ὅλον γὰρ εἶχον τὸν νοῦν πρὸς ἅπερ ἤθελον λέγειν ἠσχολημένον). εἷς τις τῶν Αἰθιόπων, καὶ τούτων μάλιστα ὁ γενναιότερός τε καὶ εὐτολμότερος, μεγέθει τῶν λοιπῶν διενηνοχώς, κατ᾿ ἐμὲ γενόμενος ἐπεχείρει μοι τὴν μάχαιραν κατενεγκεῖν τῷ μετώπῳ. ἐγὼ δὲ τὰς χεῖρας ἀνασχὼν „μὴ τοῦτο πράξης“ εἶπον, „ἐπεὶ πολλῶν χρημάτων σεαυτὸν καὶ τοὺς περὶ σὲ ζημιοῖς“. (47) οὕτως ἔτυχον εἰπών, καὶ τῷ πεπαρρησιασμένῳ τοῦ σχήματος τὴν ὁρμὴν τοῦ Αἰθίοπος τέως πρὸς τὸ μὴ τὴν τομὴν ἐνεγκεῖν ἀνακόψας, τὴν λαιὰν δὲ τῶν χειρῶν ἐγκρύψας εἴσω τοῦ κόλπου καί τινα χρύσεα κόσμια τὸ τάχος ἐξενεγκὼν καὶ τῇ παλάμῃ τούτου ἐνθέμενος, „ἔστωσάν σοι ταῦτα“ ἔφην „ἐνέχυρα τῆς ζωῆς τῆς ἐμῆς. εἴπερ δὲ πολὺ πλείονα τούτων εὐπορῆσαι βούλει, τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ τἀδελφῷ τοῦ πατρός“, ἐπιστραφεὶς καὶ τούτους ἐν ᾧπερ ἦσαν τόπῳ τῷ δακτύλῳ καθυποδείξας, „τὸ μὴ θανεῖν κατεγγύησαι, καὶ παρέξομαί σοι χρήσιμα δῶρα, τῇ προσδοκίᾳ ὑμῶν ἔν τισιν ἀφανέσι τόποις προαποτεθειμένα, οὓς ἡμεῖς τε μόνοι διαγινώσκομεν καὶ ὑμῖν προθύμως σωτηρίας τυγχάνοντες ὑποδείξομεν. εἰ δέ γε θάνοιμεν, διόλωλεν ἐκεῖνα, τάς τε ὑμῶν διαφυγόντα χεῖρας καὶ τῇ ζωῇ τῇ ἡμετέρᾳ συναπολήξαντα“, τούτοις τὸν θυμὸν παρακατασχὼν τοῦ βαρβάρου, καὶ τῇ ἐπιδόσει τῶν κοσμίων εἰς ὑπόνοιαν ὧν φθάσας εἶπον τὴν διάνοιαν αὐτοῦ ἐμβαλών, ἐν οἷς ποικίλως ἑαυτὸν πρὸς ἱκεσίαν κατεσχημάτιζον. οὐδὲ γὰρ ᾔδει βάρβαρος ὢν ἃ πρὸς αὐτὸν διελεγόμην, ἀλλ᾿ἢ μόνον ἐφαίνετο θαυμάζων τὴν παρρησίαν καὶ τὸ σεσοφισμένον τῆς πληροφορίας παντὶ τρόπῳ κατειργασμένον.

48. *Ἐν τούτοις ἕτερός τις ἐγγύθεν ἐλθὼν ἀφῆκε φωνήν, „τί ταῦτα οὕτω ποιεῖς, καὶ τὸν Αἰθίοπα ταῖς ἱκεσίαις παρακατέχεις, ἐξὸν εἰπεῖν πρὸς ἐμέ; καὶ εἴ τι καὶ δέοι, συναντιλήψομαί σοι“. ἐγὼ δὲ τὸ πλέον θαρρήσας καὶ τῇ τοῦ ἀνδρὸς παρουσίᾳ πρὸς τὸ εὐθυμότερον μετατεθεὶς ἀνέκραγον, „σῶσον“ εἰπὼν „ὅστις εἶ, πρὸς θεοῦ ἡμῖν ἐν τούτοις χρειωδῶς ἀπεσταλμένε, καὶ τῆς παρούσης ἀνάγκης ἐξάρπασον. λήψῃ δὲ παρ᾿ἡμῶν ταύτης τῆς χάριτος ἕνεκεν ἄξια τῆς ζωῆς ἡμῶν λύτρα, καὶ ὧν οὐδὲν ἐξ ἴσου, κατὰ πᾶσαν ἣν ἥλωτε τήνδε τὴν πόλιν, ἐν ἄλλοις τισὶν εὑρεθήσεται.“ ἐκεῖνος οὖν „θαρσεῖτε“ ἔφη, „καὶ τοῦ θανάτου τῆς ἐννοίας ἀπόσχεσθε, καὶ πρὸς τὸ εὐθυμότερον ἑαυτοὺς μεθαρμόσατε. ἐγὼ δέ“ φησι „καὶ τοὺς Αἰθίοπας πείσω τὰ αὐτά μοι συνθέσθαι, καὶ μέχρις αὐτοῦ τοῦ καθηγουμένου παντὸς τοῦ στρατοῦ ὑμᾶς ἀπάξω πρὸς τὸ καὶ ὑπ᾿ἐκείνου λαβεῖν τὴν περὶ τοῦ ζῆν πληροφορίαν. μόνον αὐτοὶ τὰ ὑποσχεθέντα πληρῶ-*

що важно, и сами пристъпиха, наредени един до друг и вдигнали десници, готови да стоварят мечовете си върху главата ми. Когато обаче и с това не можаха да ме изплашат (аз бях съсредоточил целия си ум върху това, което исках да кажа), един от етиопците, най-смелият и дързък от тях, който надминаваше останалите по височина, дойде при мен и поиска да ме удари с меча си по челото. Аз му задържах ръцете и му казах: „Не прави това, тъй като ще лишиш и себе си, и своите хора от много пари.“ (47) Това успях да кажа и със смелото си държане отклоних устрема на етиопеца да ми нанесе в момента удар, а с лявата си ръка бръкнах в пазвата си и бързо извадих няколко златни украшения и като ги турих в шепата му, казах: „На ти това като залог за моя живот. Ако искаш да получиш много повече от това, обещай да не погубваш баща ми и братята, а също и брата на баща ми (аз се обърнах и ги посочих с пръст там, където бяха) и ще ти дам скъпоценни дарове, поставени, когато ви очаквахме, в скрити места, които само ние знаем и които с готовност ще ви посочим, ако получим спасение. Ако ли умрем, те са загубени, ще ви се изплъзнат от ръцете и ще изчезнат заедно с нашия живот.“ С тези си думи аз сдържах гнева на варварина, а с дадените украшения насочих ума му да се досети за смисъла на думите, които успях да кажа и с които по различен начин се мъчех да се представя като молител. Защото като варварин той не разбираше това, което му говорех, но изглеждаше само учуден на смелостта ми и на изкуственото, с голям труд наложено самообладание.

48. В този момент един друг [варварин] се приближи и рече: „Защо постъпваш така и си седнал да молиш етиопеца, когато можеш да кажеш на мен? И ако трябва нещо, аз ще ти помогна.“ Аз се окуражих още повече и като се успокоих от присъствието на човека, извиках: „Който и да си ти, казвам, изпратен ни навреме от бога при тия затруднения, спаси ни и ни отърви от настоящото нещастие. Заради това благодеяние ти ще получиш от нас достоен откуп за нашия живот, равен на който не ще се намери у никого из целия този град, който превзехте.“ Той рече: „Бъдете спокойни, не мислете за смъртта и се успокойте, а аз — казва — ще склоня и етиопците да се съгласят с мен в това, и ще ви заведа при самия началник на цялата войска, за да получите от него гаранция за живота си. Само че вие помислете помежду си да изпълните обещанието. За-

σαι πρὸς ἀλλήλους διανοήθητε· εἰ γάρ τι τῶν παρ᾽ ὑμῶν λεχθέντων μὴ πρὸς ἔργον ἀχθῇ, ταῖς μαχαίραις ταύτας κριθήσεται." ὡς οὖν ταῦτα ἔλεγεν, εὐθὺς ὁ πατὴρ ὁ ἐμὸς σὺν τοῖς ῥηθεῖσι δυσὶν ἀδελφοῖς καθ᾽ ἡμᾶς γενόμενοι, καὶ τοῖς ποσὶ τούτου τὰς κεφαλὰς προσερείσαντες, ἐδέοντο τὴν αὐτὴν ἐμοὶ πληροφορίαν λαβεῖν, βεβαιούμενοι πληρώσειν ἑτοίμως ὅσα ἐγὼ προκατεῖπον. θᾶττον οὖν ἐκεῖνος πάντα ἃ παρ᾽ ἡμῶν ἠκηκόει ταῖς τῶν ἄλλων ἐνθέμενος ἀκοαῖς, καὶ τούτῳ μάλιστα ᾧ κατ᾽ ἀρχὰς ἐγὼ περιέτυχον ἕκαστα προειπών, λόγον τε πείσας ἔνορκον ἡμῖν παρασχεῖν, οὕτως μηδὲν παρῄνει τοῦ λοιποῦ δεδιέναι.

щото, ако не бъде изпълнено нещо от това, което казвате, въпросът ще се реши от тези мечове". Когато казваше това, баща ми със споменатите двама братя дойде при нас и като допряха главите си до краката му, искаха да получат същата като мен гаранция и уверяваха, че ще изпълнят с готовност това, което аз бях казал. И тъй този веднага съобщи на другите всичко, което чу от нас, и най-вече на варварина, комуто случайно бях казал всичко в началото. Той ги убеди да ни дадат клетва и ни напомни да не се плашим за в бъдеще при това положение от нищо.

49. *Συλλαβόμενοι δὲ ἡμῶν καὶ τοῦ τείχους καταβιβάσαντες, εἰς μέσους τε αὐτῶν διαλαβόντες, ἦγον τὴν ἐπὶ θάλασσαν, ἐπάνω τῶν σωμάτων τῶν ἤδη ἀναιρεθέντων βαδίζοντες. τῆς οὖν εἴσω πόλεως τὴν πύλην ἐμβάντες οὐ κατευθὺ τὴν πορείαν ἐποιούμεθα, ἀλλὰ τῷ ὑπτιάζοντι μέρει τραπέντες τοῦ ἐκεῖσε βουνοῦ πρὸς τὸ κάταντες ἐφερόμεθα. ἔνθα καί τινες ἄλλοι κατεφάνησαν ἀνιόντες Αἰθίοπες, καὶ αὐτοὶ μαχαίρας κατέχοντες ταῖς χερσίν, οἳ καὶ μέσον τῶν ἤδη χειρωσαμένων διειλημμένους ἑωρακότες ἡμᾶς τῇ φυσικῇ μανίᾳ πληγέντες ὥρμησαν ἀναιδῶς, πόρρωθεν δεικνύμενοι τοῦ κινοῦντος θυμοῦ τὴν ἐπίτασιν. ἀλλ᾽ ἐπειδὴ καθ᾽ ἡμᾶς γεγονότες ἔγνων μηδὲν ἡμῖν ἐπενεχθῆναι δεινὸν τοὺς ἤδη προειληφότας σπουδάζοντας, ἐν ἑαυτοῖς σκεδασθέντες ὑπανεχώρησαν. εἷς δέ τις αὐτῶν ἀναιδέστερος τῶν ἄλλων ὡς εἰκὸς καὶ θρασύτερος, ὡς εἴ τις ὑλακτικὸς κύων μεμηνὼς κατηκολούθει, καί τινα πλῆξαι τῇ μαχαίρᾳ δολερῶς ἐτεκταίνετο. ἕνα γάρ τινα τῶν ἑλόντων ἡμᾶς ἑαυτὸν εἶναι προσποιησάμενος ἔλαθεν, οὐκ οἶδ᾽ ὅπως, ὑποσύρων τῶν ἄλλων ἐμέ, καὶ μικρὸν ἀποστὰς ἀνελεῖν ἐπεχείρει. — — —* (pp. 550,2 –555,6).

49. Когато бяхме взети в плен, варварите ни свалиха от стената. Те ни заобиколиха и ни поведоха към морето, като стъпваха по телата на вече погубените. Когато влязохме през вътрешните врати на града, ние не тръгнахме направо, но кръшнахме настрани и се заизкачвахме по склона на тамошния хълм. Там ни срещнаха други етиопци, които отиваха нагоре. Те също държаха в ръцете си мечове. Като ни видяха заловени сред вече пленените, те бяха обхванати от присъщия им бяс и се втурнаха безсрамно, като отдалеч проявяваха необузданият си гняв. Но когато се приближиха до нас, разбраха, че тези, които ни бяха заловили, се грижат да не ни се причини нищо лошо и като се пръснаха, оттеглиха се. Един от тях обаче, както изглеждаше, по-нахален от другите и по-дързък, ни последва, джавкайки като лаещо куче, и коварно кроеше да удари някого с меча. Представяйки се, че той е един от заловилите ни, не зная как незабелязано той ме откъсна от другите и като изостана малко, поиска да ме погуби. — — —

51. *Ἤλθομεν δὲ κατά τινα τόπον ἔνθα μονή τις ἔσω παρθένων ἀσκουσῶν γυναικῶν, ἥτις πάλαι τοῦ Ἀκρουλλίου κατονομάζεται. καὶ πάλιν ἄλλῃ τινὶ κουστωδίᾳ βαρβάρων ἐντυχόντες κατὰ τὴν προαυλαίαν οἱ μεθ᾽ ἡμῶν βάρβαροι, καί τι μικρὸν συστάντες αὐτοῖς, ἔδοξαν εἴσω χωρεῖν ὥς τι σπουδαῖον τοπάσαντες ἐφευρεῖν. συνειπόμεθα δὲ τούτοις καὶ ἡμεῖς, τοὺς παρόντας ὑποβλεπόμενοι καὶ μή πω τὰς ψυχὰς τῆς προτέρας σκοτοδίνης ἀπαγαγόντες. ὡς οὖν εἰσῄειμεν τοῦ ναοῦ τὰ προπύλαια ὃς τοῦ ἁγίου ἐπικέκληται Γεωργίου, ὁρῶμέν τινα βάρβαρον σκιμποδίῳ ἐγκαθεζόμενον, ἀνασπάσαντά τε τὰς ὀφρύας ξίφος τε κατέχοντα γεγυμνωμένον, καὶ ἀτενὲς τοὺς ἑστῶτας βλέποντας εἰς αὐτόν, εἴ τι καὶ βούλοιτο πράττειν, ἑτοίμους εἶναι ταῖς ὁρμαῖς ὑπεμφαίνοντας. ὡς οὖν κατ᾽ αὐτὸν ἐγενόμεθα, ἤρετο τοὺς περὶ ἡμᾶς τίνες ἐσμέν, καὶ ποίᾳ προφάσει τὸν θάνατον διεφύγομεν. οἱ δὲ πάντα συντόμως ἐξεῖπον, καὶ τῶν νώτων ἡμῶν λαβόμενοι πρηνεῖς τοῖς ποσὶν*

51. Дойдохме до едно място, където има манастир на девици-аскети, който от старо време се нарича Акрулион. При входа [му] нашите варвари отново се натъкнаха на друг варварски отред и като се поразприказваха малко с тях, решиха да влязат вътре, предполагайки, че ще намерят нещо ценно. С тях отидохме и ние, като поглеждахме със страх присъствуващите, тъй като още не се бяхме съвзели от вцепенението. Когато влязохме в преддверието на храма, който носи името Св. Георги, видяхме един варварин, седнал на диван, с навъсени вежди и изваден меч. Стоящите до него го гледаха втренчено, като с вида си показваха, че са готови да извършат каквото пожелае. Когато се приближихме при него, той запита тези около нас кои сме и как сме избягнали смъртта. А те накратко му разправиха и като ни хванаха за гърбовете, проснаха ни на земята

αὐτοῦ τῷ ἐδάφει προσέρρηξαν. οἱ δὲ τὸ ξίφος, ὅπερ ἔτυχε ταῖς χερσὶ κατέχων, ἑτέρως ἢ ὡς πέφυκε τέμνειν ἀνθυποστρέψας, ἐπάταξε ταῖς κάραις ἐφάπαξ καθ'ἕνα ἡμῶν. εἶτα ἀνίστασθαι καὶ θαρρεῖν ἐκέλευσε, καὶ „τοῦτο" φησί „τῆς ἀσφαλείας τεκμήριον ἔχοντας μηδὲν τοῦ λοιποῦ δεινὸν ὑμᾶς ὑποπτεύειν παρεγγυῶ". τοῖς παρεστῶσι δὲ βαρβάροις τοῦ ναοῦ τὰς πύλας, αἳ τέως ὑπῆρχον κεκλεισμέναι, προστάξας ἀναρριπίσαι, τῆς καθέδρας ἐξαναστὰς καὶ τὸν ἐμὸν πατέρα τῇ λαιᾷ ταῖν χειροῖν, τῇ ἑτέρᾳ δὲ τῶν ἀπ'ἐμοῦ δύο ἀδελφῶν τὸν ἕνα κατέχων, ἔνδον εἰσῄει τοῦ σεβασμίου σηκοῦ. ὁ δὲ ἦν ἅπας πεπληρωμένος ἐλεεινῶν ἀνθρώπων ἐν αὐτῷ προκαθειρχθέντων, τριακοσίων περί που τὸν ἀριθμόν, ὡς ἐν ὑστέρῳ κατεμανθάνομεν. (52) οὐκ ὀλίγον δὲ καὶ μιαιφόνων πλῆθος τῷ δυσμενεῖ συνεισῆλθεν. ἀλλ'ἐκεῖνος εὐθὺς εἰσπηδήσας ἀνῆλθεν ἐπάνω τοῦ καθηγιασμένου βωμοῦ, ἐν ᾧ παρὰ τῶν ἱερέων ἡ μυστικὴ τελεῖται λατρεία· καὶ τοὺς πόδας συμπλέγδην ἐν ἀλλήλοις ἀνθυποστρέψας, ὡς ἔθος ἐστὶ τοῖς βαρβάροις, ἐκάθητο γέμων θυμοῦ καὶ ἀπονοίας τόν τε δῆμον τῶν ἀνδρῶν ἐκείνων περισκοπῶν, καὶ ἅπερ ἐβούλετο δρᾶν, τῇ κακεντρεχείᾳ τῶν φρενῶν διοικούμενος· τὸν ἐμὸν δὲ πατέρα καὶ ἀδελφὸν ἑκατέραις διαλαβὼν ταῖς χερσί, καὶ ἡμᾶς αὐτοῦ που πρὸς τῇ εἰσόδῳ φυλάττεσθαι παρὰ τῶν ἑλόντων ἐγκελευσάμενος, νεύματι τοῖς βαρβάροις ἀνελεῖν ἐκείνους προσέταττεν. οἳ δὴ τὸ τάχος καθάπερ ἀτίθασσοι λύκοι θήρας ἐπιτυχόντες, οὕτως ἠπειγμένως καὶ ἀνηλεῶς τοὺς ἀθλίους κατέτεμον. ἔτι δὲ τῷ θυμῷ ζέοντες, τί καὶ περὶ ἡμῶν ἐθέλοι αὐτοὺς πράττειν, πρὸς τὸν δεινὸν ἐκεῖνον δικαστὴν ἀπεσκόπουν. ἀλλ' ἐκεῖνος μὲν τῆς καθ'ἡμῶν αὐτοὺς τέως ἐπιχειρήσεως διεκώλυσεν, ἐδόκει δὲ καὶ ἡμῖν αὐτόθι φυλαττομένοις τόν τε πατέρα καὶ τὸν ἐμὸν ἀδελφὸν τοῖς κειμένοις συναναιρεθῆναι καὶ μόνους ἡμᾶς φειδοῦς ἀξιωθῆναι. πάλιν ἐκείνοις περὶ ἡμῶν αὐτὸ τοῦτο, τῷ βωμῷ φυλαττομένοις, λογίζεσθαι ἐπήρχετο. πλὴν οὐκ εἴχομεν ᾧ τινὶ πέρατι τὴν περὶ ἀλλήλων στῆσαι ἀμφιβολίαν. ὡς γὰρ ἔληξεν ὁ κατ'ἐκείνους τοὺς δυστυχεῖς φόνος, πεπλήρωτο δὲ τὸ ἔδαφος ἅπαν νενεκρωμένων σωμάτων, μέσον δὲ τούτων ἐλίμναζεν ἡ πλημμύρα τοῦ αἵματος, οὐκ ἔχων ὅπως ὁ μιαιφόνος ἐκεῖνος πρὸς τὸ ἐκτὸς γένηται, ἄλλο κατ'ἄλλο τὰ πτώματα τῶν κειμένων τοῖς ἑκατέρωθεν τοῦ ναοῦ περιδρόμοις ἐπιτεθῆναι διεκελεύσατο. οὗ δὴ καὶ γενομένου θᾶττον εὐθὺς αὐτὸν τοῦ βωμοῦ καταπηδήσαντα, καὶ πάλιν τὸν ἐμὸν πατέρα καὶ ἀδελφὸν ἑκατέραις χερσὶν ἐναγκαλισάμενον γενέσθαι μέχρις ἡμῶν. τοσαύτη δὲ ἦν ἡ ἐκδειματώσασα τὰς ψυχὰς ἡμῶν τῶν θεαμάτων ἐκείνων ἀχλύς, ὧν τε ἐκείνοις κατείδομεν καὶ ὧν ἐν ἡμῖν αὐτοῖς ἐτοπάσαμεν, ὡς ἐν τοσαύτῃ πανωλεθρίᾳ μόνοι διαφυγόντες τὸν θάνατον μηδέν τι τοῦ σκυθρωποῦ καθυφεῖναι, ἀλλὰ μόνον τοῖς προσώποις ἀλλήλων ἐνατενίζειν, ὥσπερ ἐκπληττόμενοι καὶ μηδὲ φωνὴν ἀφεῖναι τῷ πράγματι συγχωρούμενοι. τοὺς πλείονας δὲ τῶν βαρβάρων ὁ σοβαρὸς

в краката му. А той обърна тъпата страна на меча, който държеше в ръцете си, и с нея удари по веднаж главата на всеки един от нас. После ни заповяда да станем и да се успокоим и ни каза: „Получавайки това доказателство за [вашата] безопасност, аз ви съветвам за в бъдеще да не се страхувате от нищо лошо". Той заповяда на стоящите пред него варвари да отворят вратите на храма, които бяха тогава затворени, и като стана от седалището, хвана с лявата си ръка баща ми, а с дясната един от двамата ми братя и влезе в светия храм. А цялата църква бе изпълнена с окаяни хора, затворени преди това в нея, на брой, както узнахме по-късно, около триста. (52) Заедно с нечестивеца влезе и немалка тълпа убийци. Той със скок се качи на светия олтар, където свещениците извършват божествените служби. Като кръстоса нозе, какъвто е обичаят у варварите, той седеше, изпълнен с бяс и безумие, и оглеждайки тълпата мъже, коварно обмисляше това, което искаше да извърши. Като държеше с двете си ръце баща ми и брат ми, той заповяда на тия, които ни бяха заловили, да ни пазят там някъде при входа и нареди с едно кимване на главата на варварите да погубят онези мъже. И варварите веднага като диви вълци, налетели на дивеч, съсякоха нещастниците бързо и безжалостно. Обзети още от бяс, те питаха с поглед този страшен съдия какво иска да направят и с нас. Но той засега им попречи да посегнат върху нас и ние, които бяхме пазени тук, решихме, че баща ми и брат ми са погубени заедно с избитите и че само ние сме били удостоени с пощада. Но и те, когато били пазени при олтара, помислили същото за нас. И ние безкрайно се боехме едни за други. Когато клането на онези нещастници приключи и подът се покри с телата на умъртвените, между които течаха потоци кръв, този убиец нямаше как да излезе навън и затова заповяда да сложат труповете на убитите един върху друг в двете странични галерии. Това бе направено бързо и той веднага скочи от олтара и като дойде при нас, отново хвана с двете си ръце баща ми и брат ми. Ужасът, който видяхме изписан на техните лица и който подозирахме, че е изписан и на нашите лица, беше толкова голям, че ние, единствени избягнали смъртта в това толкова голямо клане, никак не можехме да се освободим от вцепенението, но само се гледахме вторачено един друг и като ударени от станалото, не можехме да произнесем нито дума. А този суров човек, като остави по-голямата част от варварите,

ἐκεῖνος ἀποτεμόμενος, ἵππῳ ἐπιβὰς ἐφεστῶτι ἀπέπτη ἐκ μέσου ἡμῶν, προστάξας καὶ αὖθις συλλαβεῖν ἡμᾶς καὶ πρὸς τὸν λιμένα τῆς πόλεως σπουδῇ θέειν· αὐτόθι γὰρ κατασπεύδειν καὶ ἑαυτὸν ἔφη.

качи се на доведения кон и отлетя от нас, след като заповяда да ни вземат отново и да тичат бързо към пристанището на града, защото и той бързал натам.

53. Παραλαβόντες οὖν ἡμᾶς ἦγον ὡς τάχιστα, πᾶσαν ἡμῖν πανταχόθεν ἀσφάλειαν περιποιούμενοι. καὶ πολλαχοῦ τῆς ὁδοῦ περιπίπτομεν πολλοῖς πλήθεσι τῶν εἰσρεόντων βαρβάρων, πάντων φόνον πνεόντων· καὶ οὐ μικρὸν ἦν ἔργον λανθάνειν τούτους, εἰ καὶ ὅτι ῥώμῃ πολλῇ σωμάτων καὶ οἱ προειληφότες ἡμᾶς Αἰθίοπες ὑπῆρχον ἀνεσταλμένοι, καὶ οὐδὲν ἦν ἢ καταπτῆξαι ἢ τῆς ὁρμῆς αὐτοὺς ἐνδοῦναι το παράπαν δυνάμενον. πλὴν οὐ μετ᾽ ὀλίγου καμάτου καὶ ἀγωνίας τὸν ῥηθέντα λιμένα τῆς πόλεως κατελάβομεν. αὐτόθι γὰρ ἔτυχεν ὢν καὶ ὁ τῶν πολεμίων τοῦ στρατοῦ καθηγούμενος, ᾧ δὴ καὶ ἀνηγγέλη τὰ καθ᾽ ἡμᾶς ὑπὸ τῶν συνόντων βαρβάρων, γνωρισάντων καὶ τὴν αἰτίαν δι᾽ ἣν μόνους ἡμᾶς ἐκ πάντων τῶν προστυχόντων περιεσώσαντο. ὃς ἐξ αὐτῆς ἕνα τινὰ τῶν σὺν αὐτῷ τῆς καθέδρας ἐξαναστήσας καὶ τοῖς ἑστῶσιν ἐπισυνάψας, τοιαύτην δέδωκε καθ᾽ ἡμῶν αὐτῷ ψῆφον, ὡς εἰ μὲν ἀληθῆ φανεῖεν ὅσα τοῖς βαρβάροις ἐν τῷ τείχει προϋπεσχόμεθα, ἔργοις αὐτοῖς πληρούντων τὰς ὑποθήκας, καὶ φειδοῦς ἀξιωθῆναι καὶ πρὸς αὐτὸν πάλιν ἀνθυποστρέψαι· εἰ δέ γε μηδὲν τοιοῦτον ἀληθῶς λεχθὲν εὕροιεν, ἀλλ᾽ ἢ προαπολωλεκότας τὰ χρήματα, ἢ τὸν θάνατον δεδιότας ἅπαντα ψευσαμένους καὶ ὥσπερ τὴν πρώτην ἔντευξιν ἀποκρούσασθαι διὰ τὴν ἀνάγκην τοῦ καιροῦ σοφισαμένους, τοῖς ξίφεσιν ἕνα ἕκαστον ἐκεῖσε διελόντας τῆς ζωῆς ἀπαλλάξαι. παραχρῆμα οὖν καὶ πάλιν μέσους ἡμᾶς διαλαβόντες ἄγειν ἐπέταττον, ἔνθα δὴ τεταμιεῦσθαι, φασίν, ὑφ᾽ ἡμῶν προεδηλώθη τὰ χρήματα, ἐξειπόντες καὶ τὴν καθ᾽ ἡμῶν ἐξενεχθεῖσαν ἀπόφασιν, καὶ ὡς εἴ τι τυχὸν τῶν λεχθέντων μὴ πρὸς ἔργον ἀχθείη, τοῖς ξίφεσι τούτοις διακριθήσεται. δέος οὖν ἡμῖν καὶ τότε μᾶλλον ἢ πρότερον ἐπεισῄει, τάχα μή πού τις τῶν οἰκετῶν ἢ τῶν προπειραθέντων τοῦ τόπου, παραπλησίᾳ περιτυχὼν ἀνάγκῃ καὶ θέλων καὶ αὐτὸς τὸν ὄλεθρον ἐκφυγεῖν, προεσήμανε τὴν δαψίλειαν τῶν κεκρυμμένων, καὶ μάτην εὑρέθημεν ἡμεῖς τοσαύταις μηχαναῖς τὴν ἑαυτῶν ζωὴν συντηρούμενοι.

53. И тъй те ни поеха и ни подкараха много бързо, като се грижеха да бъдем защитени отвсякъде. Често из пътя ние се натъквахме на много тълпи стичащи се варвари, всички гледащи на кръв. Не беше лесна работа да се изплъзнем от тях, макар тези, които ни бяха първи заловили, да се отличаваха с голяма телесна сила и нищо да не беше в състояние да ги сплаши или изобщо да ги отклони от пътя им. Ние стигнахме до споменатото градско пристанище не без много усилия и мъки. Там беше и водачът на неприятелската войска. Придружаващите ни варвари му известиха за нас и му съобщиха за причината, поради която сме оцелели само ние от всички, на които се били натъкнали. Той веднага вдигна от седалището един от своите и го придаде към застаналите [пред него], като издаде следното решение: Ако това, което обещахме на варварите на стената, излезе истина и на дело изпълним уговореното, да ни пощадят и да ни върнат при него. Ако обаче открият, че няма нищо вярно в казаното и че сме излъгали във всичко, било защото преди това сме били загубили парите, било защото сме се уплашили от смъртта и притиснати от обстоятелствата, сме измислили това, за да се изплъзнем от първата опасност, да ни отнемат живота, като с меч посекат всеки един. Варварите отново веднага ни обградиха и ни заповядаха да отидем там, където порано сме им съобщили, че сме били скрили парите. Те ни съобщиха и произнесената срещу нас присъда, а също така, че ако нещо от казаното не излезе вярно, въпросът щял да бъде решен с мечовете. И тъй сега нас ни обзе още по-голям от предишния страх да не би някой от слугите и от тези, които знаеха мястото, ако е бил изпаднал в непосредствена опасност и е пожелал сам да избегне гибелта, да е посочил преди нас укритото богатство и да се окаже, че напразно сме се мъчили с толкова хитрости да спасим живота си.

54. Ἀλλ᾽ οὔπω ταῦτα βεβαίως ἔχοντες σκοπεῖν, πεφθάκαμεν τὸν τόπον οὕτως ἔχοντα καθὼς ἐν τῷ καιρῷ τῆς φυλακῆς ἐσημειωσάμεθα· ὑφ᾽ ἑνὶ γάρ τινι κρυφιώδει ταμείῳ, ὅσοιπερ ἂν ἦμεν κατὰ συγγένειαν ἀγχιστεύοντες, προαποθεῖναι τὰ ἑαυτοῦ ἕκαστος, ὥσπερ τοῦ μέλλοντος μαντευόμενοι, συμφερόντως ἐβουλευσάμεθα. οὗ καὶ τὴν ἔξοδον τοῖς βάρ-

54. И тъй още в пълна [неизвестност относно това, ние дойдохме до мястото, което беше в същото състояние, както го бяхме белязали, когато криехме богатството. Защото всички ние, които бяхме в тясно родство, решихме благоразумно, като че предчувствувахме бъдещето, да скрием предварително своите богатства в едно тайно скривалище. Когато показахме на варварите входа

βάροις καθυποδείξαντες, ἥτις ἦν λιθίνῃ πλακὶ κατησφαλισμένη, ἱστάμεθα τῶν πολλῶν λογισμῶν τὰς ψυχὰς περιάραντες. ἤδη μὲν γὰρ μηδὲν τοῦ λοιποῦ δεδιέναι χάριν τῆς ὑποσχέσεως, τοὐναντίον μὲν οὖν καὶ συμπαθείας τυχεῖν τῷ πλήθει τῆς ἐπιδόσεως. ὡς γὰρ ἐκεῖνοι τῶν κρυφίων ἐπέτυχον, εὐθὺς ἀπὸ τοῦ ὀργίλου πρὸς τὸ περιχαρὲς μετεβάλλοντο καὶ ἡμῖν διευθυμεῖσθαι προσέταττον. „τούτοις" γὰρ ἔφασκον „κατηγγυήσθε τὴν σωτηρίαν, καὶ διὰ τούτων ὑμῖν τὸ ζῆν κεχάρισται σήμερον. ἀλλ' ἀπέλθωμεν δὴ καὶ πρὸς τὸν ἡγούμενον τοῦ στρατοῦ, ὡς ἂν καὶ παρ' αὐτοῦ τελείαν δέξησθε τὴν ἀσφάλειαν." ἦγον οὖν πάλιν ἡμᾶς ἐκεῖθεν τὴν εἰς αὐτόν, περιεπίπτομεν δὲ φοβεροῖς τισὶ καὶ παραδόξοις θεάμασιν. ἔκειντο γὰρ τὰ σώματα τῶν ἀνῃρημένων ἔτι τοῦ λύθρου ἐναποστάζοντα, φρικτὸν ὅραμα. πᾶσα ἡλικία τῶν ἀνθρώπων μιᾷ ψήφῳ τὸν διὰ ξίφους κατακριθεῖσα θάνατον, καὶ μετὰ τῶν ἄλλων καὶ ταφῆς ἀμοιροῦσα. κατεχεῖτο δὲ κατὰ παντὸς στενωποῦ περιρρέων ὁ οἶνος, καὶ τοῖς αἵμασι τῶν πεπτωκότων ἀνακιρνώμενος ἅπαν τὸ ἔδαφος τῆς πόλεως κατεμέθυσκεν. παριόντες οὖν ἐσκοποῦμεν, καὶ εἴ πού τινα τῶν ποτὲ γνωρίμων ἢ φίλων μεταξὺ τῶν ἄλλων νεκρῶν ἀπηκριβωσάμεθα, ἠρέμα μόνον τοῖς στεναγμοῖς πρὸς ἀλλήλους τοῦτον διεσημαίνομεν. σχολὴ δ' οὐκ ἦν ἢ θρηνῆσαι τοῦτον ἢ χαρίσασθαί τι τῆς ποτὲ φιλίας τῷ καιρῷ χρήσιμον· ἀλλ' ἢ μόνον ἄπρακτα τῷ κειμένῳ περιαλγήσαντες πάλιν περὶ τῶν καθ' ἑαυτοὺς ἐσκεπτόμεθα.

55. *Ἤδη δὲ φθασάντων ἡμῶν τὸν λιμένα παρέστημεν τῷ τυράννῳ, ὅτε καὶ τοὺς τῶν νηῶν ἀρχηγέτας ἐκκλησιάσας τῆς καλουμένης εὐχῆς ἐθρήσκευε τὴν δυσσέβειαν· ὃς μετὰ τὴν συμπλήρωσιν ἐκείνης τῆς τελετῆς ἀχθῆναι ἡμᾶς κατὰ πρόσωπον τοῖς ἐφεστῶσι διεκελεύσατο. ὡς οὖν ἤχθημεν, ἐπυνθάνετο τὸν πατέρα, „εἰ ἐπίσκοπος" φησί „τυγχάνεις τῆσδε τῆς πόλεως;" ἐτεκμαίρετο γὰρ ὅσον ἐκ τῆς ἐσθῆτος οὐδὲν ἀλλοῖον ἔχειν τοῦ ἀξιώματος. ὁ δέ „οὐκ εἰμί" ἔφη, „κληρικὸς δὲ καὶ τῆς ἐκείνων εὐχῆς προσδεόμενος". ἄλλος δέ τις ἐγγύθεν ἑστώς, ὃς ἦν ἀρχηγὸς τοῦ ἑτέρου στρατοῦ, πρὸς αὐτὸν ἔφη „ἐπίσκοπος μὲν οὐκ ἔστιν οὗτος, κατ' οὐδὲν δὲ διαφέροντα βαθμὸν ἐκείνοις κεκλήρωται· ἔξαρχον γὰρ αὐτὸν ἴσμεν τῆς Ἑλλάδος ἁπάσης, οὐδὲν τῆς τιμῆς ἐκείνων καθυστερίζοντα." „οὗτος δὲ τίς ἐστι;"*

му, който беше защитен с каменна плоча, ние си въздъхнахме, освободили се от многото съмнения, защото благодарение на обещанието ние нямаше от какво да се боим занапред, напротив, можехме да спечелим благоразположението им поради голeмината на откупа. Щом варварите се добраха до скривалището, техният гняв веднага се смени с радост, а и на нас казаха да се ободрим. „Защото с тези богатства — рекоха те — вие си осигурихте спасението и заради тях днес ви се подарява животът. Но нека отидем при предводителя на войската, за да получите и от него пълна гаранция". Оттук нас отново ни поведоха при него. По пътя се натъкнахме на страшни и невероятни гледки. Защото труповете на погубените все още лежаха и се търкаляха в кръвта (ужасна гледка!). Това бяха хора от всякаква възраст, осъдени с общо решение на смърт чрез меч и на всичко отгоре лишени от погребение. На всяка улица се лееше в изобилие вино, което се смесваше с кръвта на падналите и напояваше цялата земя на града. Минавайки покрай [тях], ние се взирахме и когато забелязвахме сред другите мъртъвци някои от предишните си познати или приятели, ние взаимно си го посочвахме тихо само с въздишки. Нямахме време нито да го оплачем, нито да направим нещо заради някогашното приятелство. Ние само безпомощно оплаквахме лежащия и отново се отдавахме на нашите грижи.

55. Като стигнахме до пристанището, ние се явихме пред тирана, когато той беше свикал и корабните началници и изпълняваше мръсната си така наречена молитва. След като я свърши, той заповяда на стоящите наоколо да ни доведат пред него. Когато бяхме доведени, той започна да разпитва баща ми: „Да не си епископ на този град?" По дрехите той съдеше, че това можеше да бъде само епископ. А баща ми отговори: „Не съм. Аз съм клирик, който се нуждае от епископска благословия". А друг един, който беше застанал наблизо и беше началник на другия отред, му рече: „Този не е епископ, но има достойнство, което е равно на това на епископите. Ние го знаем като екзарх на цяла Елада[1], който в нищо не им отстъпва по достойнство". „А този кой е?"

[1] Екзарси били наричани пратениците на папата и патриарсите, а също и духовниците, на които патриарсите, митрополитите и епископите давали известни административни права. Такъв духовник ще да е бил и бащата на Камениат. Екзарси са били титулувани и епископите на най-известните митрополии. В частност атинският епископ е имал титлата „екзарх на цяла Елада". Такава титла се дава и на бащата на Камениат, но той не ще да е бил атински епископ, защото сам според Камениат заявява, че не е епископ, но клирик, който се нуждае от епископска благословия. Срв. *Иоанн Камениата*, Взятие Фессалоники, 236, бел. 1 към гл. 55.

τῷ δακτύλῳ σημάνας ἐμέ. „υἱός ἐστι τοῦδε“, καὶ αὖθις ὁ παρεστὼς ἔφη, „κληρικὸς καὶ αὐτός, καὶ τῶν ἐν τοῖς οἴκοις τῶν βασιλείων τεταγμένων εἷς. οὗτοι δὲ ἀδελφοὶ τυγχάνουσι τοῦδε“, τοὺς ὑπ᾽ ἐμοῦ δύο παραδηλώσας, „ἄμφω δὲ υἱοὶ τοῦδε τοῦ προεστῶτος, διαφόρως μὲν ἀποτεχθέντες αὐτῷ, ἄγοντες δὲ καὶ διάφορον ἡλικίαν“. „ὁ δὲ συνὼν αὐτοῖς οὗτος ὁ γηραιὸς τίς ἂν εἴη;“ πάλιν ὁ δεινὸς ἤρετο δικαστής. „ἀδελφὸς ἐμός“, προλαβὼν ὁ πατὴρ ἀπεκρίνατο, νεύματι κἀκεῖνον συνθέσθαι πρὸς τὴν πεῦσιν ἀναδιδάξας. ἐπειδὴ δὲ τούτων ἀκήκοε, καθεσθῆναι πάντας προσέταξε, καὶ ἑαυτὸν τῶν ἄλλων ἀποτεμόμενος ἡσυχῇ πρὸς ἡμᾶς ἔφη „πάσης ὑμᾶς πονηρᾶς ὑποψίας ἐκτὸς εἶναι βούλομαι· τό τε γὰρ ἀόπλους τοῖς εἰληφόσιν ἐντυχεῖν καὶ τὸ νῦν ἐν ὄψεσι ταῖς ἐμαῖς προτεθὲν χρημάτων πλῆθος τὴν ζωὴν ὑμῖν, ἥτις δυσέλπιστός ἐστι τοῖς πολλοῖς ἐχαρίσαντο, καὶ οὐκ ἔστιν ὑμῖν ὑπόνοια τοῦ λοιποῦ θανάτου ἐξ ἐπιβουλῆς οὐδέ τις ἄλλη ἐπήρεια παρὰ τῶν ἐμῶν ὑπηκόων. ἀλλ᾽ ἄπιτε τὰ συμφέροντα συμβουλεύοντες ἑαυτοῖς, χρηστάς τε παραζευγνύντες ἐλπίδας. οὕτω γὰρ ἡμᾶς φθάσαι τὴν Συρίαν γενήσεται, καὶ πρὸς Ταρσὸν εὐθέως πόλιν τῆς Κιλικίας ὑμᾶς διαπέμψω τηρηθησομένους σὺν τοῖς ἐκεῖσε φρουρουμένοις μέχρι τῆς προσδοκωμένης καταλλαγῆς, ἀντίλυτρον ἔχοντας τοὺς ὑπὸ τῶν Ῥωμαίων καιροῖς οὐκ ὀλίγοις ἑαλωκότας ὁμοεθνεῖς ἡμῶν Ἀγαρηνούς, ὧν ἀφικομένων καὶ ὑμεῖς τῶν δεσμῶν λυθήσεσθε καὶ τὰ οἰκεῖα ἕκαστος ἀπολήψεσθε.“ οὕτως ἔφη, καὶ πρὸς τοὺς ὑφ᾽ ἑαυτὸν πάλιν ὑποστραφεὶς τὰ περὶ ἡμῶν διεξῄει, βαρβαρίζων τὰ πλεῖστα. οὐδὲν δὲ τέως ἐλάνθανεν ἡμᾶς, τὸν κατ᾽ ἀρχὰς περισώσαντα εἰσέτι μέσον ἡμᾶς περιάγοντα καὶ πάντα ἐξ ἐκείνου μανθάνοντας. (56) τόπῳ δέ τινι τῇ θαλάσσῃ περικλυζομένῳ καθεσθέντας ἀσφαλῶς ἡμᾶς τηρεῖσθαι προσέταξεν. οὗ δὴ γενομένου πρῶτον τῆς ἐλπίδος τοῦ θανάτου τέλεον τὰς ψυχὰς μετηγάγομεν καὶ τῇ θεϊκῇ προνοίᾳ ἑξῆς ἐπετρέπομεν.

Ἐπήρχετο δὲ τότε τοῖς λογισμοῖς ἡμῶν, ὥσπερ ἄρτι τοῦ κακοῦ τὴν ἀρχὴν ἀναθεωροῦσιν, ἡ τῶν οἰκείων φροντίς, νύττουσα τὰς καρδίας ἡμῶν μᾶλλον ἢ τὰ κυκλοῦντα ξίφη, πῶς ἄρα καὶ ποῖον τεθνήκασι τρόπον, ἢ τινες αὐτῶν τοῦ κινδύνου διεκφυγόντες εἰς τὴν ὁμοίαν ἡμῖν ἀπαγωγὴν ἐκρίθησαν. ὅμως οὐδ᾽ οὕτως εἴχομεν ἀσφαλῶς περὶ τούτων γνῶναι διὰ τὸ πρόσφατον γεγονέναι τῶν πολεμίων τὴν εἴσοδον, καὶ πάντα μεστὰ κραυγῆς ἀσήμου καὶ θορύβου τυγχάνειν, καὶ πολὺ πλῆθος εἴσω τοῦ λιμένος ἐνστρέφεσθαι τῶν τε ἐκ τῆς πόλεως χειρουμένων καὶ αὐτῶν δὲ τῶν βαρβάρων, πῇ μὲν

— [попита той] и ме посочи с пръст. — „Това е син му“. И отново стоящият до него човек каза: „И той е клирик, един от служителите в царските дворци. А тези — и той посочи двамата, които бяха зад мен — са му братя. И двамата са синове на този ръководител. Те са неговите по-млади синове и са на различна възраст“. — „А кой е този старец с тях?“ — попита отново грозният съдия. „Брат ми“ — избърза да каже баща ми, като му даде знак с глава да потвърди отговора. Като чу това, той нареди всички да седнат, а сам, като се отдели от другите, ни рече спокойно: „Аз искам да отстраните от себе си всяка лоша мисъл. Това че сте излезли невъоръжени срещу тези, които са ви заловили, и поставеното пред очите ми голямо количество пари ви спасява живота, който за повечето е загубен. И вие занапред не бива да се опасявате, че ще умрете поради коварство, нито моите подчинени ще ви причинят някакво насилие. Идете и се погрижете, както трябва, за себе си и се изпълнете с добри надежди. Така ние ще успеем да отидем в Сирия и аз веднага ще ви отпратя в киликийския град Тарс, за да бъдете пазени там заедно с тамошните пленници до очакваната размяна. За ваш откуп ще послужат пленените в продължение на дълго време от ромеите наши сънародници агаряни. Когато те пристигнат, и вие ще бъдете освободени от окови и всеки ще се върне у дома си.“ След тези думи той отново се обърна към подчинените си и им разправи за нашите работи, като повече говореше на варварски. От нас не остана нищо скрито, тъй като всичко научавахме от този, който ни беше спасил и все още се намираше между нас. (56) Бяхме поставени на едно място, обкръжено от морето и той нареди да ни пазят грижливо. След като стана това, ние за пръв път се освободихме от страх за живота си и поверихме бъдещето на божията промисъл.

Едва тогава ние бяхме обхванати от тревожни мисли за близките си, като че ли едва сега виждахме нещастието. Тревогата за това, как и по какъв начин са умрели или кои от тях са избягнали опасността и са били осъдени като нас на подобно отвличане, нараняваше нашите сърца повече, отколкото извитите ятагани. Но при все това, ние не можахме да се осведомим с положителност за тях поради неотколешното влизане на варварите и понеже всичко беше изпълнено с неясни викове и шум. Вътре в пристанището се движеха гъсти тълпи от пленени граждани и от самите варвари, кои-

ἐγκωμιαζόντων τὰ σκῦλα, πῇ δὲ γυναῖκας καὶ ὑπομάζια βρέφη ἐκ παντὸς τόπου καὶ πάσης οἰκίας βιαίως ἐφελκομένων, ἐλεεινὸν ὀδυρόμενα καὶ τὴν στέρησιν τῶν μητέρων γοερὸν κλαυθμυρίζοντα, ἄλλων τῶν ἀρχόντων τινὰς ἢ τῶν περιφανῶν πλουσίων κατά τινας παραπλησίας ἡμῶν αἰτίας τὸν ὄλεθρον διακρουσαμένους ἀνηλεῶς ἐπισυρομένων· ἤδη γὰρ καὶ αὐτὸς ὁ πρὸς τοῦ βασιλέως σταλεὶς Νικήτας, ἀλλὰ μὴν καὶ ὁ τῆς περιχώρου στρατηγὸς χειρωθέντες ὑπῆρχον ἔν τισι ναυσὶ βαρβαρικαῖς φυλαττόμενοι. διά τοι ταῦτα οὐδὲν πλέον ἢ πρὸ τοῦδε περὶ τῶν οἰκείων φροντίζοντες ὠφελοῦμεν. — — —
(pp. 557,12—565,21).

58. *Ἐν τούτοις πάλιν ἀπόφασις ἐξήνεκτο παρὰ τοῦ τυράννου, περιέχουσα οὕτως „εἴ τις τῶν συλληφθέντων χρήματά που ταμευσάμενος ἔχει, παρελθὼν ἐν μέσῳ τούτοις ὠνησάσθω τὴν σωτηρίαν· εἰ δέ τις μηδὲν ἔχων λύτρον τῆς ἰδίας ζωῆς φωραθείη, οὗτος τὴν κεφαλὴν τμηθεὶς τῶν ζώντων διαιρεθείη“. προσέταττε δὲ τοῦτο παρὰ τῶν βαρβάρων ἀκηκοὼς ὡς οὐκ ἄν τινα φειδοῦς ἠξίουν, ὅτε κατ᾽ἀρχὰς εἰσήλασαν ἐν τῇ πόλει, εἰ μή που παρ᾽ αὐτῶν ἐκείνων ἐβεβαιοῦντο ἔχειν αὐτοὺς ἐν ἀποκρύφοις χρήματά τινα πᾶσαν δυνάμενα ἐκφυγεῖν ἔρευναν. ὅσοι δὴ οὖν τῶν ἑαλωκότων ὑπῆρχον ἔχοντες εἴδησιν ἀκριβῆ περὶ ὧν ἦσαν προκεκρυφότες εὐθέως ἐκδήλους ἑαυτοὺς καθίστων κατεπείγοντες τὴν δόσιν ὡς τῆς ζωῆς παραιτίαν· ὅσοι δὲ μηδὲν τοιοῦτον ἔχειν παρ᾽ἑαυτοῖς ἐπεγίνωσκον, ἀλλ᾽ ἐπὶ ματαίαις μόνον ἐλπίσι τὰς συνθήκας ἐπλάσαντο, τὴν σφαγὴν ἐξεδέχοντο ἀναμφιβόλως τοῖς ἐνδεῶς ἔχουσι κεκριμένην. τάττονται δὴ οὖν ἐπὶ τούτῳ τῶν βαρβάρων τινές, ὥστε τοὺς βουλομένους παρέχειν τὰ ἑαυτῶν ἐν ταῖς ἰδίαις ἀποφέρειν οἰκίαις, καὶ εἰ μὲν ἄξια εἴη πλεονεκτικὸν ὀφθαλμὸν κορέσαι, σωτηρίας τε ἀξιοῦσθαι τούτους καὶ αὖθις τοῖς δεσμίοις ἐναριθμεῖσθαι, εἰ δ᾽εὐτελῆ τινὰ καὶ βραχέα καὶ οἷς οὐκ ἂν κρίνοιεν εὐδοκοῦντα τὸν ἀποστείλαντα, τῆς μαχαίρας γενέσθαι. οὐκ ὀλίγος ἦν ἐκ τούτου πάλιν τοῖς χειρωθεῖσιν ὁ κίνδυνος, πολλῶν διακρινομένων ἐκ τῶν ἐχόντων ὕλην τινὰ περισπούδαστον. ἐτελεῖτο δὲ ταῦτα ἐφ᾽ὅλοις νυχθημέροις δέκα, τῆς πληθύος ἀεὶ τῶν χρημάτων ἐκφορουμένης ἀπὸ τῆς πόλεως, τῆς τε λοιπῆς ἀναγκαίας ὕλης, ὅση διὰ σηρικῆς ἐσθῆτος εὐπρεπὴς ἦν καὶ ὅση διὰ λίνου τοῖς ἀραχναίοις ἤριζεν ὑφάσμασιν, ὡς ὄρη καὶ βουνοὺς ἐκτελεῖσθαι τὰς τούτων σωρείας, ἄλλων ἐπ᾽ἄλλοις ἐπιτιθεμένων καὶ τὸν ὑποκείμενον τόπον πληρούντων. χαλκῶν γὰρ καὶ σιδηρέων σκευῶν ἢ τῶν ἐξ ἐρίων ἐσθημάτων οὐμενοῦν οὐδ᾽ ὅλως ἐφρόντισαν, περιττὸν ἡγούμενοι τὴν κτῆσιν αὐτῶν. εἴ που δέ τι τοιοῦτον ἀγαγὼν ἔλαθέ τις, τῷ*

то на едно място се хвалеха с плячката, а другаде насила влачеха от всяко място и къща жени и деца кърмачета, жалко плачещи и скръбно оплакващи раздялата с майките си, докато трети безмилостно влачеха някои от архонтите и от знатните богаташи, които се бяха спасили от гибел по същия като нас начин. Дори самият императорски пратеник Никита, а също и стратегът на областта бяха пленени и се намираха на някой варварски кораб. Поради това ние въпреки старанието си не можахме да научим за домашните нещо повече от преди. — — —

58. В това време тиранинът отново издаде заповед със следното съдържание: „Ако някой от пленените има някъде укрити пари, да излезе напред и да откупи с тях спасението си. Ако ли някой бъде изобличен, че няма никакъв откуп за живота си, да му се отреже главата и така да се премахне от живите“. Той нареждаше това, понеже беше чул от варварите, че те пощадили, когато влезли в града, само тия, които ги били уверили, че имат в скривалищата си пари, които не могат да се открият с никакво търсене. И тъй тези от пленниците, които знаеха със сигурност за това, което бяха укрили, веднага съобщиха и бързаха да го дадат като откуп за живота си. А тези, които си знаеха, че нямат нищо подобно, но бяха обещали само поради празни надежди, очакваха сигурно посичане, което бе решено за нямащите. Затова на някои от варварите бе заповядано да отведат по къщите им тези, които искат да предадат своите ценности, и ако те са достатъчни да задоволят едно алчно око, да им запазят живота и отново да ги върнат при окованите, ако ли пък ценностите са евтини и дребни и такива, които изпратилият ги [предводител] според тях не би харесал, да ги погубят с меч. От това отново се появи немалка опасност за пленените, тъй като мнозина от заможните се съмняваха дали нещата им са ценни. Това се вършеше в продължение на цели десет денонощия, като из града постоянно се изнасяха множество пари и други ценни неща, едни от които бяха прекрасни, понеже бяха от коприна, докато други бяха от лен, който не отстъпваше на паяжина. Купищата от тези неща, слагани едни върху други, образуваха планини и хълмове, които покриваха под себе си земята. Варварите не обръщаха никакво внимание на медните и железните предмети или на вълнените дрехи, защото смятаха за ненужно тяхното придобиване. Ако ли някой тайно донасяше нещо подобно, те го хвърляха в

τῆς θαλάσσης δεδώκασιν ὕδατι, κἀν τούτῳ τοὺς διαδράντας τὸν κίνδυνον ἀμυνόμενοι, ἵνα καὶ αὐτοί τι μετέχωσι τοῦ κακοῦ πολυσχιδῆ καὶ διάφορον τὴν τῶν ἐνυπαρχόντων ζημίαν ἐπαισθανόμενοι.

59. *Ἦν δέ τις μετὰ τοῦ λοιποῦ πλήθους τῶν αἰχμαλώτων συλληφθεὶς εὐνοῦχος τοῦ βασιλέως καὶ τῶν ἐξόχων εἷς, Ῥοδοφύλης οὕτω καλούμενος, ὃς ἔτυχε πρὸ μικροῦ τοῦ κινδύνου τὴν ἐπὶ δύσιν σταλείς, καί τινων χρειῶν ἕνεκεν πρὸς τῇ πόλει γενόμενος, μεθ᾽ ἡμῶν συγκλεισθῆναι καὶ τῶν ῥηθέντων ἀνιαρῶν μετασχεῖν· ὃς καὶ ἐκόμιζε μεθ᾽ ἑαυτοῦ πλῆθος χρυσίου, ὅπερ ἔλεγεν ἀπάγειν ἐπικουρίας τινὸς χάριν τοῦ κατὰ Σικελίαν στρατοῦ, συμπλεκομένου τοῖς κατὰ τὴν Ἀφρικὴν βαρβάροις ἀεὶ καὶ πολλῆς δεομένου τῆς ἐν τοῖς πράγμασι συνεργίας. οὗτος οὖν κατὰ τὴν νύκτα μεθ᾽ ἣν τοῦ κινδύνου τὴν πεῖραν ἅπαντες ἐδεξάμεθα, ἔλαθεν οὐκ οἶδ᾽ ὅπως ἐξενεγκεῖν τῆς πόλεως τὸ χρυσίον μετὰ καί τινων τῶν ὑπηρετουμένων αὐτῷ, καὶ πρὸς τὸν στρατηγὸν Στρυμόνος ἐξαποστεῖλαι, χαράξας ἐπιστολὴν περιέχουσαν ἀσφαλῶς φυλάττειν τοῦτο μέχρι τῆς ἐκβάσεως τοῦ πολέμου. χειρωθεὶς οὖν οὗτος ἤχθη κατὰ τὸ πρόσωπον τοῦ τυράννου. ὁ δὲ τὴν μορφὴν ἀλλοιώσας, ἐμβριθέστερόν τε μᾶλλον ἢ πρότερον εἶχε πρὸς αὐτὸν χρησάμενος, ἀνηρώτα. „ποῦ δή“ φησι „τὸ τοῦ βασιλέως χρυσίον, τὰ δύο τάλαντα ἅπερ ἐπὶ Σικελίαν ἄγειν ἐτάχθης;“ ὁ δὲ „τοῦτο δή“ φησιν, „εἰς ὅπερ κατείλημμαι, δεδιώς, τὴν πολιορκίαν λέγω τῆς πόλεως ἐπείπερ αὐτὸς ἐγὼ δεῦρο τυχὼν ἀδυνάτως εἶχον τοσούτου κινδύνου παρόντος ὑποχωρεῖν καὶ μὴ τὰ παρ᾽ ἑαυτοῦ δεικνύναι, πάντων εἰς ἐμὲ βλεπόντων ὡς ἄν τι χρηστὸν αὐτοῖς καὶ τῷ καιρῷ τούτῳ χρήσιμον δυνάμενον παρεσχεῖν, τούτου δὴ χάριν τὸ μὲν χρυσίον ἐκεῖνο τῆς πόλεως ὑπεξήγαγον (οὐ γὰρ ἠδυνάμην ἀκριβῶς περὶ ἀδήλων στοχάσασθαι), ἐγὼ δέ σοι παρέστηκα τήμερον δορυάλωτος, πολλῶν ἄλλων χρημάτων παραίτιος, εἴγε ζῶντά με καὶ ἀβλαβῆ συντηρήσειας.“ ἀχθεσθεὶς οὖν ἐπὶ τούτοις ὁ ἀλαζὼν ἐκεῖνος, καὶ τὸν θυμὸν ὁποῖος αὐτὸν εἶχε διά τε τῶν ὀφθαλμῶν καὶ τῆς φωνῆς ἔκδηλον καταστήσας, βύθιον ἐξεβόησεν. „ἐπειδή περ“ φησὶν „οὐκ ἔμαθεν ἐκ τῶν προκειμένων ἀδιάδραστον εἶναι τὴν τοῦ θανάτου ψῆφον τοῖς μὴ τὰ οἰκεῖα χρήματα λύτρον παρεχομένοις ὁ τῆς γυναικωνίτιδος οὗτος, ἀλλ᾽ ὥσπερ ἐπὶ σκηνῆς ἐπίδειξιν ποιεῖται, τὸ πλάσμα τοῦ ψεύδους μέγα καὶ θαυμαστὸν οἷον κατὰ τῆς ἑαυτοῦ προβαλλόμενος σωτηρίας, ῥάβδοις τυπτέσθω τά τε ἰσχία καὶ τὰ*

морските води. По този начин наказваха и избягналите опасността, за да изпитат и те част от злото, като научат, че загубата на блага може да бъде различна и разнообразна.

59. Заедно с останалото множество пленници беше заловен и един евнух на императора, и то един от знатните, по име Родофил[1]. Той бил пратен малко преди нещастието на Запад и понеже дойде поради някаква работа в града, бе заловен заедно с нас и понасяше споменатите несгоди. Той имал в себе си много пари, за които казваше, че ги носел заради някакви нужди на сицилийската войска[2], която непрестанно воювала с африканските варвари и се нуждаела от голяма материална помощ. И тъй през нощта, след която върху всички ни се стовари опасността, той, не зная как, заедно с някои от слугите си изнесъл скришно от града онова злато и го изпратил при стримонския стратег, като написал и писмо, чието съдържание било да пази това злато до свършване на войната. И тъй, след като бе заловен, заведоха го пред лицето на тиранина. А този, като изкриви чертите на лицето си, отнесе се към него с по-голяма от предишната суровост и го попита: „Къде е — казва — царското злато, двата таланта[3], които ти беше заповядано да занесеш в Сицилия?“ А Родофил [отвърна]: „Боейки се от това, в което изпаднах, сиреч от обсадата на града, тъй като аз се намерих тук, без да имам възможност да се измъкна от настоящата толкова голяма опасност и да скрия това, което имах у себе си, понеже всички ме гледаха като човек, който би могъл да им даде нещо, което би било полезно и за момента подходящо, затова аз изнесох това злато извън града (защото не можех да се ориентирам в неясното положение), но сега аз съм ти пленник, източник [за теб] на много други пари, ако ме запазиш жив и здрав“. Недоволен от тези думи и проявявайки п с очи, и с глас гнева, който го беше обхванал, този простак извика, задъхвайки се: „Тъй като този евнух[4] не е разбрал от току-що станалото, че смъртта е неизбежна за тези, които не дадат като откуп своите пари, но се проявява като на сцена и се прикрива с голяма и чудовищна лъжа в ущърб на спасението си, нека бъде

[1] Това е императорският пратеник евнухът Родофил, който се бил отбил в Солун на път за Запад, където отивал с голяма сума пари, предназначена за византийската войска, която се сражавала срещу африканските араби. За Родофил вж. тук стр. 46, бел. 1. [2] Вероятно в почти завладяната от арабите Сицилия по това време е имало все още византийска войска, която е държала някои крепости. Вж. *Васильев*, Византия и арабы, стр. 130. [3] Според други византийски хронисти, напр. Theophanes Continuatus, VI, 21, p. 368_{6-8}, Родофил носел 100 литри злато, което се равнява на около 28 кг. Срв. *Иоанн Камениата*, Взятие Фессалоники, стр. 238, бел. 3 към гл. 60. [4] В гръцкия текст стои *ὁ τῆς γυναικωνίτιδος* „прислужник в женското отделение“.

κατὰ τὸν νῶτον μέρη, ὡς ἂν ἄρτι γνῷ πρῶτον τίνι παρίσταται καὶ περὶ τίνων διαλέγεται, καὶ μὴ χρημάτων ἀλλοτρίων ἀμφισβητῶν τὸν περὶ ψυχῆς ἑαυτῷ περιποιῆται κίνδυνον." οἱ λειτουργοὶ οὖν τῶν ἀδίκων φόνων, ὡς μόνον εἶδον αὐτὸν μεθ' ὑποσυρμοῦ φωνῆς καὶ μανίας τὴν τοιαύτην ψῆφον κατὰ τοῦ ἑστῶτος ἐξενεγκάμενον, θᾶττον λόγου παντὸς τῇ γῇ τοῦτον προσέρραξαν, καὶ τοσαύταις βάλλουσι πληγαῖς ὡς μὴ ἐπὶ πολὺ ἀντισχεῖν τοῦ ἀθλίου τὸ σῶμα ἀλλ' εἰς πολλὰ διαιρεθέν, καὶ τοῖς ὀχετοῖς τῶν αἱμάτων τὸν ὑποκείμενον τόπον πληρῶσαν, οὕτως τὴν ψυχὴν ἐπαφεῖναι, καρτερεῖν ταῖς δριμείαις ἐκείναις ἀλγηδόσιν οὐκ ἐξισχύσασαν. ὡς οὖν ἀπείρηκε καὶ δῆλος ἦν τοῖς ὠμοῖς ἐκείνοις δορυφόροις, μηκέτι τὰς πληγὰς ἀφιεῖσι καὶ μετὰ θάνατον, μόλις ποτὲ τῆς κατεχούσης ἑαυτὸν ὀργῆς περιάρας ὁ δυσέντευκτος θὴρ „ἔστω" φησί „μετὰ τοῦ χρυσίου ἐκείνου καὶ οὗτος εἰς ἀπώλειαν· ἀλυσιτελὲς γάρ, ὡς ἔοικεν, καὶ εὑρεθὲν ἂν διεδείκνυτο."

60. Τοῖς δὲ τῶν νηῶν ἀρχηγοῖς προσέταττε σκευάζεσθαι πρὸς τὸν ἀπόπλουν, τὴν νεάζουσαν κούραν τοῦ πλήθους ἀρρένων τε καὶ θηλειῶν πρῶτον ταῖς ναυσὶν εἰσενεγκόντας, μὴ κατὰ συγγένειαν ἀλλὰ διακεκριμένως, ἵν' ἔχωσι κἂν τούτῳ τιμωρίαν οὐ τὴν τυχοῦσαν, τὴν φυσικὴν ἐξ ἀλλήλων διαίρεσιν, εἶθ' οὕτω τὰ χρήματα, καὶ ὅσα ἄλλα τῶν συνειλεγμένων φανεῖεν χρήσιμα, συμφορήσαντας αὐτάρκη ταῖς ναυσὶ τῶν ἀγωγίμων ἐμποιῆσαι τὸν φόρτον. ἤγετο οὖν τὸ νεάζον πρόσωπον ἅπαν, τοῦτο μόνον κατηγορίαν ἔχον, τὸ ἀνθηρὸν τῆς ἡλικίας ἢ τῶν προσώπων τὴν ὡραιότητα. κἂν γὰρ ἡ σύγχυσις τῶν λυπηρῶν ἅπαντας πρὸς τὸ σκυθρωπὸν ἦγεν, ἀλλ' ὁ φυσικὸς χαρακτὴρ ἐδήλου ταῖς ὄψεσι τὴν εὐγένειαν· καὶ πρόφασις ἦν τοῖς πολλοῖς τὸ κάλλος, ἐν τοῖς δεινοῖς αὐτοὺς προδιδόμενον. ἀλλὰ ποῖον τούτων πρῶτον ἐξείπω; ποῖον δὲ κατ' ἀξίαν ἐλεεινότερον κρίνω; ὁπότε συμμιγής τις καὶ σφοδρὸς ἀνήγερτο θρῆνος διχοτομουμένης τῆς φύσεως, ἀλλήλους τοὺς ἀγχιστεῖς ἀνακαλουμένους καὶ τὸν χωρισμὸν δυσχεραίνοντας. καὶ γὰρ ἦν ἰδεῖν τοὺς τῷ πάθει συγκεχυμένους, ἄνδρας γυναῖκας, ἀκμάζοντας παῖδας, ὁμοῦ πάντας δεινὸν ἀλαλάζοντας καὶ ἑαυτοὺς διαρρηγνύντας, καὶ μηκέτι κατέχειν τὴν ἀθυμίαν τῶν τοσούτων ὀχληρῶν ἐξισχύοντας, ἀλλὰ δηλοῦντας ταῖς οἰμωγαῖς τὴν ἔνδον τῆς καρδίας διάθεσιν, ὡς ἅπασα καταπίμπραται τῶν πειρασμῶν ταῖς φλογώσεσιν. ὡς γὰρ βιαίως οὕτως ἐξ ἀλλήλων διαιρεθέντες φύρδην ταῖς ὁλκάσιν εἰσήχθησαν, εὐρείαις τε οὔσαις καὶ ἱκαναῖς πολλοῖς πλήθεσιν ἐξαρκεῖν, οὐ κατάστοιχα, οὐδ' ὡς ἄν τις εἴποι, ἐν αὐτάρκει τόπῳ τοῦ σωματικοῦ ὄγκου τῶν εἰσελθόντων ἕκαστος τὴν καθέδραν ἐλάμβανεν, ἀλλ' ὡς ἔτυχεν ἅπαξ κατενεχθείς, τοῦτο μόνον ἀπεκεκλήρωτο, μὴ

бит с тояги най-жестоко, и то по гърба, за да узнае най-после пред кого стои и за какво говори и да не излага живота си на опасност, като спори за чужди пари". Изпълнителите на несправедливите убийства, щом видяха, че той със задъхващ се глас и злобно произнесе такава присъда срещу изправилия се пред него човек, тозчас проснаха Родофил на земята и му нанесоха толкова удари, че тялото на нещастния не можа дълго да изтрае, но, разкъсано на много места и напоило земята под себе си с потоци кръв, издъхна, не можейки да понесе страшните мъки. И тъй, след като беше смазан и това стана ясно за тези жестоки войници, които и след смъртта все още не прекратяваха ударите, едва тогава неумолимият звяр се съвзе от обхваналия го бяс и каза: „Нека и този загине заедно със златото си! То, както изглежда, и да беше намерено, не би ни ползувало."

60. На началниците на корабите той заповяда да се приготвят за отплуване, като натоварят на корабите най-напред младите от множеството мъже и жени, не по сродство, но разделени, за да понесат и в случая необикновено наказание — физическа раздяла един от друг. След това по същия начин той заповяда да донесат парите и всичко друго от събраното, което изглежда полезно, и да натоварят на корабите достатъчен товар стоки. И тъй помъкнаха всички младежи, които имаха само тази вина — цветущата си младост или хубавите си лица. И макар струпалите се страдания да бяха направили всички тъжни, все пак в тяхното държане окото откриваше благородство. За повечето повод да изпаднат в тези ужаси беше красотата им. Но отгде да започна най-напред? Кое заслужава да бъде сметнато за по-голямо? Вдигна се общ и страшен плач, тъй като се разкъсваше едно естествено цяло. Роднини се викаха едни други и оплакваха раздялата. Можеше да се види как смазани от мъка мъже, жени, юноши, деца всички заедно се вайкат страшно и си раздират гърдите, понеже не можеха повече да сдържат отчаянието си от толкова много мъки и с плача си разкриваха сърцето си, което цяло гореше в пламъците на тези изпитания. Така насилствено разделени едни от други, те бяха безредно натоварени на корабите. Макар последните да бяха широки и достатъчни да поберат много народ, никой от влезлите не получи място по ред или, както би помислил човек, достатъчно за тялото си, но всеки получаваше само това място, където веднаж беше се намерил слу-

δυνηθεὶς ἐν ὅλαις ταῖς ἐφεξῆς ἡμέραις ἕως μιᾶς παλαιστῆς τόπον ἐφευρεῖν, ἵν' ἀνακλιθεὶς ἀνάπαυσιν δῷ κἂν βραχεῖαν τῷ σώματι. (61) *πᾶσαι δὲ αἱ νῆες τῷ τρόπῳ τούτῳ πεπλήρωντο, τέτταρες [γὰρ] οὖσαι, καθὼς ἔφημεν, καὶ πεντήκοντα. ἔτι δὲ πλῆθος ἦν περιττεῦον, ἄξιον καὶ αὐτοῖς κρινόμενον τῆς ἀποδημίας. οἱ οὖν βάρβαροι συναγαγόντες τὰς νῆας τῆς πόλεως, αἷς ἐχρῶντό ποτε πρὸς τὸ τὸν σῖτον ἐπικομίζειν οἱ καθ' ἡμᾶς ἔμποροι, ἔτι δὲ καὶ ἃς ἡμεν βυθίσαντες κατὰ τοῦ πορθμοῦ τοῦ λιμένος σοφίσματί τινι ἀνελκύσαντες, ὃ καὶ ἐνήργησαν διά τινων στροφίγγων τοῖς ἐκεῖσε προβόλοις ἐπιτετηδευμένων καὶ τὴν ἐπίνοιαν ἐργώδη δεικνύντων, ἑλισσομένων τινὶ τεχνάσματι καὶ διὰ τῶν ἀπῃωρημένων κάλων ἀνελκυόντων τὸ ὑποκειμένον, — οὕτως οὖν καὶ ἄλλων νηῶν πληθὺν εὐπορήσαντες εἰσεκόμισαν ἅπαντας, ὡς μηδένα πώποτε τῶν εἰς τοῦτο τεταγμένων παραλειφθῆναι. ἐξ ὧν ἁπάντων οὐκ οἶδα εἴ πού τις τῶν ἀρρένων τὸν ἴουλον ἐτετρίχωτο ἢ κἂν μία τῶν γυναικῶν ἥβασκεν. πάντες δὲ καὶ πᾶσαι νέαν ἦγον τὴν ἡλικίαν, καὶ τούτων μάλιστα τὰ ἀρτιγενῆ βρέφη. οὓς ἄν τις καθ' ἕνα λογιζόμενος κατεκλᾶτο, μὴ σθένων ὁρᾶν τὰ καθ' ἕκαστον αὐτῶν ἀτυχήματα.*

чайно, и през всичките следващи дни не можеше да намери педя място, за да полегне и да даде кратка почивка на тялото си. (61) Всички кораби, на брой, както казахме, 54, бяха натоварени по същия начин. А останаха още много пленници, които според варварите заслужаваха да бъдат откарани. И тъй варварите събраха градските кораби, с които някога нашите търговци си служеха, за да доставят жито. Те извадиха също и корабите, които ние бяхме потопили при входа на пристанището, с едно приспособление, което направиха от някакви макари, закрепени на тамошните скали и представляващи сложно съоръжение. Тези скрипци се въртяха с някакво устройство и с висящи въжета извличаха това, което беше под водата. Като се снабдиха по този начин и с много други кораби, те натовариха всички пленници, така че не бе оставен никой от тези, които бяха определени за товарене. От всички тях аз не зная дали някое момче си бе обръснало мъха на брадата или някое момиче бе достигнало зряла възраст. Всички бяха твърде млади и дори повечето младенци. Човек би заплакал, ако си помисли за всеки един от тях, нямайки сила да гледа отделните им нещастия.

62. *Καθ' ἡμῶν δὲ τῶν κατὰ διαφόρους αἰτίας ἐκφυγόντων τὸ ξίφος ἐκηρύχθη τοιαύτη παρὰ τοῦ τυράννου καὶ αὖθις ἀπόφασις, ὥστε τοὺς μὲν ἐξ ἡμῶν, καὶ μάλιστα ὅσους ἔδοξε τὰ τοῦ πλοὸς ἐγκαρτερῆσαι δυναμένους ἐπίπονα, μετ' αὐτῶν ἐκείνων τῶν στρατηγῶν διαιρεθέντων εἰσελθεῖν ἀνὰ πέντε ἐφ' ἑκάστης τῶν βαρβαρικῶν νηῶν, τηρεῖσθαί τε χάριν τοῦ πρὸς τὴν Ταρσὸν διαπεμφθῆναι λόγῳ τῆς εἰρημένης καταλλαγῆς· τοὺς λοιποὺς δέ, ὡς μηδέν τι χρηστὸν αὐτοῖς δυναμένους πορίζειν, εἴ γε τῆς ἀποδημίας μετάσχωσι, μᾶλλον μὲν οὖν καὶ ἀνωφελῆ φόρτον αὐτοὺς ἐπισύρεσθαι, ἔδοξεν ἐπαφεῖναι τῇ πόλει, οὐδὲ τοῦτο φειδοῦς τινὸς ἕνεκεν, οὐδ' ὅτι τῷ θεῷ παρεῖχε, καθώς τινες τοὺς βαρβάρους πράττειν ἀλόγως φιλονεικοῦσιν, ἀλλὰ καὶ τοῦτο μετά τινος μεθόδου καὶ μοχθηρᾶς ἐπινοίας, ἵν' ἐν μηδενὶ φανείη τῶν πεπραγμένων ἀσυντελής, ᾧ μὴ κέρδος ἑαυτῷ συμπορίσοιτο. ἀκριβῶς γὰρ εἰδὼς ὡς μετὰ μικρὸν ἔσεσθαι μέλλει τῶν αἰχμαλώτων ἡ διὰ τῆς καταλλαγῆς ἀπολύτρωσις, ἐσοφίσατο μηδὲ τούτους εἰκῇ καὶ ὡς ἔτυχεν ἐλευθερίας τυχεῖν. καὶ σκόπει τὸ πανοῦργον τοῦ δράματος. ἐρχομένοις γάρ τισι μετὰ τὸ τὴν πόλιν ἁλῶναι, τοῖς ὁπωσδηποτοῦν διαδρᾶσι, καὶ τοὺς ἰδίους αἰχμαλώτους ὠνουμένοις, συνείπετο μετ' αὐτῶν καί τις ἀνὴρ καλούμενος Συ-*

62. По отношение на нас, които по различни причини бяхме избягнали меча, тиранинът издаде следното решение: тия от нас, най-вече за които смяташе, че могат да издържат несгодите на плаването, да бъдат разпределени между началниците и да се качат по петима на всеки варварски кораб и да бъдат пазени, за да бъдат изпратени в Тарс във връзка със споменатата размяна. Останалите пък, които не можеха да им бъдат от полза и които, ако бяха взети за отвеждане, биха били по-скоро безполезен товар, той реши да остави в града, и то не поради някаква милост или защото беше дал обет на бога, както някои твърдят глупаво, че така постъпвали варварите, но с някаква умисъл и лошо намерение, та да не изглежда, че е постъпил незаинтересувано в някоя работа, която не ще му донесе печалба. Знаейки сигурно, че след малко време [другите] пленници ще бъдат освободени при размяна, той измисли начин и тези да не получат свободата си без нищо и даром. И виж ти мръсната му постъпка! След превземането на града някои, които бяха успели да избягат, се връщаха, за да откупват своите пленени близки, и с тях беше един мъж по име Симеон[1], мъдър и житейски много опи-

[1] Симеон бил също императорски пратеник, дошъл по някаква важна работа. Срв. *Златарски*, История, I. 1, стр. 334 и сл.

μεών, φρονήσει βεβηκὼς καὶ διὰ πείρας ὢν πολλῶν πραγμάτων, ὃς ἦν πρὸς τοῦ βασιλέως σταλεὶς δι' αἰτίαν τινὰ χρειώδη πρὸ μικροῦ τῇ πόλει, περὶ ἧς νῦν οὐκ ἀναγκαῖον εἰπεῖν. τούτοις οὖν καθ'ἑκάστην μέχρι τῶν ἡμερῶν τοῦ ἀπόπλου συχνῶς ἐρχομένοις ἀνεκοινώνησε τὴν κατὰ τῶν εἰρημένων βουλὴν ὁ δεινὸς οὗτος Λέων, εἰπὼν πρὸς αὐτούς (63) *ὡς ἐγὼ ἀπεχθῶς φησί, φερόμενος ἐξ ἀρχῆς καθ'ὑμῶν οὐκ ἔκρινον ζωῶσαι τῶν ἁλόντων οὐδένα· τίς γὰρ ἐκ θεοῦ μισθὸς πολεμίοις ἀνδράσιν ἐν καιρῷ νίκης τὸν θάνατον συγχωρεῖν, ὃν αὐτοὶ μᾶλλον ἐτέκταινον καθ'ἡμῶν; ἀλλ'ἐπειδὴ χρεία τις ἐπείγει, καθ' ἣν ἐστιν ἐπάναγκες ζωωθῆναι τούτους, εἴπερ αἰσίου τύχοι τοῦ πέρατος, περὶ τούτου καθ'ἑαυτοὺς ὑμεῖς σκέψασθε. ἐπείγομαι γὰρ ἤδη τοῦ καιροῦ με καλοῦντος πρὸς τὴν ἰδίαν ἀποπλεῖν πατρίδα. δύνασθε οὖν ἀντιποιηθῆναι τούτων ὄντων διακοσίων τὸν ἀριθμὸν δι'ἐγγράφου ἐγγύης, ὡς λαβεῖν ἡμᾶς ἀντ'αὐτῶν ἐν τῷ καιρῷ τῆς καταλλαγῆς ἰσαρίθμους Ἀγαρηνούς, πεῖσαί τε τὸν κρατοῦντα τῶν Ῥωμαίων τὰ σκῆπτρα μηδεμίαν περὶ τούτου ἀμφιβολίαν ἔχειν, ἀλλὰ συνθέσθαι ὑφ'ὑμῶν πεπραγμένοις; ἢ δεδίττεσθε μὲν τὴν ἐγγύην ὡς μὴ ἐν ὑμῖν κειμένην, ἄδηλον ὂν εἰ παραδεχθήσεται ὑπ'ἐκείνου ἢ μή, ἐν οὐδενὶ δὲ τίθετε τοσοῦτον κακόν, μικρᾶς προθυμίας μέγαν προξενοῦντες τοῖς ὁμοφύλοις τὸν ὄλεθρον; εἴπατε οὖν ὁποτέρῳ τούτων στοιχεῖτε, ἵν' ἑνί γε τὴν ψῆφον δῶμεν, ἢ τοῦ ζωῶσαι ἢ τοῦ ἀπαλλάξαι αὐτούς. ὁ οὖν ῥηθεὶς Συμεών, ἅτε δὴ τῶν ἄλλων προέχων, πρὸς αὐτὸν ἔφη „ἐγὼ ταύτην τὴν ἐγγύην μόνος κατεγγυῶμαι, σαφῶς εἰδὼς τὸ περὶ πάντα φιλάνθρωπον τοῦ καθ'ἡμᾶς αὐτοκράτορος, καὶ ὡς δίχα λόγου παντὸς παρέξεται τούτων ἕνεκεν, ἐξ ὧν ἔχει δεσμίων Ἀγαρηνῶν, τοσούτους ὅσοι καὶ οὗτοι τυγχάνουσιν ὄντες· οὓς καὶ αὐτὸς ἐγὼ τῇ Ταρσῷ διακομίσω, ἵν' ἐπ'ἐμοὶ πάλιν τὰ περὶ τῆς ἐγγύης λυθῇ, καὶ μηδὲν ἔχῃς κατ' ἐμοῦ προφέρειν, ἐπὰν τὴν ὀφειλὴν ἐκπληρώσω. μόνον τύχωσι κἂν οὗτοί τινος σωτηρίας, ἵνα συλλέξαντες ταφῇ δῶσι τῶν ἀποιχομένων τὰ σώματα, ἃ διὰ πάσης τῆς πόλεως κείμενα καὶ αὐτὸν τὸν ἀέρα πρὸς θρῆνον ἐφέλκεται." ταῦτα ἀκούσας ὁ κακοήθης ἐκεῖνος, ἔγγραφόν τε πείσας τὸν αὐτὸν Συμεὼν καὶ ἐνώμοτον παρασχεῖν τὸν περὶ τῶν συνθηκῶν τούτων λόγον, ἀπολυθῆναι πάντας ἐκείνους τοὺς ἐξ ἡμῶν περιττεύσαντας ἄνδρας ἐπέτρεψεν.*

тел, който преди известно време беше изпратен от императора в града поради някаква важна причина, за която сега не е необходимо да говоря. На тези хора, които пристигаха непрекъснато всеки ден до отплуването, страшният Лъв съобщи решението си за гореспоменатите [пленници], като им рече: (63) „Настроен против вас — казва — враждебно още от началото, аз реших да не пощадя никого от пленените. Що за божия милост е във време на победа да спасявам враговете от гибел, която те са ни готвели още по-ревностно? Но тъй като ми се налага те да останат живи, щом предначинанието ми завърши успешно, то помислете върху следното. Аз съм принуден, тъй като не разполагам с време, да отплувам за отечеството си. Можете ли вие да дадете писмена гаранция, че срещу тези пленници, на брой 200, ние ще получим от вас в момента на обмяната същото число агаряни и да убедите владетеля на ромейския скиптър да не оспорва това, но да одобри направеното от вас? Или вие се боите да дадете гаранция, тъй като това не е във ваша власт, понеже не е сигурно дали императорът ще я приеме или не? И пет пари не давате за това толкова голямо нещастие и със своето нехайство навличате върху съгражданите си голяма напаст? Кажете прочее, какво решение ще вземете, за да реша и аз да живеят ли или да умрат". А споменатият Симеон, тъй като беше по-високопоставен от другите, му отговори: „Аз лично поемам върху себе си тази гаранция, тъй като добре познавам съвършеното човеколюбие на нашия император и че той без колебание ще даде толкова от пленените агаряни, които има, колкото са тези пленници. Аз самият ще ги заведа в Тарс, за да се изпълнят в мое присъствие условията около гаранцията и за да не можеш да ме упрекнеш в нищо, след като изпълня задължението си. Само че нека тези [пленници] бъдат освободени, за да съберат и погребат телата на загиналите, които лежат из целия град и карат самия въздух да плаче." Като чу тези думи, коварният Лъв накара Симеон да му даде писмено клетвено поръчителство за това споразумение и заповяда да бъдат освободени тези от нас, които бяха останали.

64. *Ἐπειδὴ δὲ τὰ περὶ τούτου καλῶς εἶχεν αὐτῷ καὶ ἐν ἀσφαλείᾳ ἦν τὸ πανούργευμα, ἕτερον πάλιν οὐκ ἔλαττον τούτου τῇ δολιότητι τῶν φρενῶν ἐπενόησε. πυρποληθῆναι γὰρ ἅπασαν τὴν πόλιν προσέταττεν, ἵν'ᾖ καὶ τοῦτο αὐτῷ οὐ τὸ τυχὸν παρεμπόρευμα· ᾔδει γὰρ ὡς οἱ τοὺς αἰχμαλώτους*

64. След като успя да нареди добре това и коварният му план бе сполучил, той отново замисли друго коварство, не по-малко от предишното. Той заповяда да се запали целият град, за да може и от това да извлече печалба. Защото знаеше, че тези, които откупваха пленниците, ще бъдат принудени

βουλόμενοι οὐδὲ τοῦτο πράττειν αὐτὸν ἐξ ἀνάγκης ἀνάσχοιντο, αἱρούμενοι μᾶλλον αὐτοὺς ἐκείνους καταπρησθῆναι ἢ τοιοῦτόν τι κἂν ἀκοῇ παραδέξασθαι. μήπω γὰρ τῶν βαρβάρων διὰ μέσου τῆς πόλεως τὴν φλόγα διασπειράντων, ἀλλ' ἔτι τὰς πλησιαζούσας τῇ θαλάσσῃ πυρπολούντων οἰκίας, μόνον ὅτι πρὸς τὸ καταβάλλειν τὰς ὑπὲρ τῆς πόλεως τιμὰς οἱ παρόντες πρὸς ἀλλήλους ἐκύρωσαν, καὶ πάλιν πρόσταγμα πανταχοῦ διεπέμπετο παύεσθαι τῆς οἰκείας συνεργίας τὸ πῦρ, ὡς εἰς χρηστὸν αὐτῷ πέρας καὶ ταύτης προελθούσης τῆς ἐπινοίας. οἱ γὰρ ἄνδρες ἐκεῖνοι σὺν τῷ ῥηθέντι Συμεών, μὴ ἔχοντες ἀλλοθέν ποθεν καταβάλλεσθαι τὴν περὶ τούτου ποσότητα, τὰ δύο ὑπέσχοντο τοῦ χρυσίου τάλαντα ἅπερ ἦν ὁ θανὼν ἐκ τῶν ῥοπάλων εὐνοῦχος πρὸς τὸν Στρυμόνα ἐξαποστείλας· ἃ καὶ θᾶττον ἀγαγόντες διά τινων ταχυδρόμων ὅθεν ἐκρύπτοντο, καὶ τοῖς βαρβάροις ἐναριθμήσαντες, οὕτως τὴν πόλιν τῆς πυρκαϊᾶς ἐρύσαντο (pp. 567,16—576,21).

да не допуснат да се извърши това, като предпочетат самите те да изгорят, отколкото дори само да чуят за подобно нещо. Варварите не бяха успели да разпръснат огъня сред града, но още палеха близките до морето къщи и присъствуващите граждани се споразумяха помежду си да дадат откупа за града. И отново навсякъде бе разпратена заповед да се спре пожарът, тъй като и този му замисъл сполучи. Понеже нямаше откъде другаде да броят стойността за това, тези мъже заедно със споменатия Симеон обещаха двата таланта злато, които убитият с тояги евнух беше изпратил в Стримон. Като ги донесоха чрез бързоходци от мястото, където бяха скрити, те ги дадоха на варварите и така спасиха града от опожаряване.

V. „ЧУДОТО“ НА СВ. ГЕОРГИ

Сред „чудесата“, приписвани на великомъченик Георги Кападокийски, се намира едно „чудо“, което се отнася до събитията от българската история през първата четвърт на X в. Това „чудо“ е изложено според една агиографска схема, която се повтаря и при още две други „чудеса“ на светеца, — чудотворно освобождаване на пленник от чужд плен. Докато другите две „чудеса“ се отнасят до освобождение на младеж, попаднал в плен у сарацините (арабите) в Сирия и на младеж от Митилин, заробен от критските араби, третото „чудо“ разказва за освобождението на сина на Лъв Пафлагонски, на име Георги, пленен от българите. Няколко конкретни посочвания в това „чудо“ дават повод да се смята, че в неговата основа лежи разказът за реално събитие и че именно то е послужило като образец на другите две „чудеса“, па и вероятно на едно „чудо“ от подобен характер, приписвано на св. Николай Мирликийски. В разказа се съдържат някои очевидно легендарни съобщения. От известни подробности се вижда, че войната, в която бил пленен Георги, синът на Лъв Пафлагонски, трябва да се датира към първата четвърт на X в. Става дума, много вероятно, за византийското нападение в българските земи през лятото на 917 г., а пленяването на младежа Георги ще да е станало в сражението при Ахелоя на 20 август 917 г., когато византийската войска претърпяла пълно поражение В текста се съдържат освен това някои интересни битови подробности из живота на византийското и българското население от онази епоха. Разказът ще да е бил съставен през X в., обаче преписвачите са добавили и изменили някои подробности в изложението. Като увлекателно четиво този разказ е намерил широко разпространение и през по-късно време бил преведен и на български.

РЪКОПИС: Cod. Mosq. gr. 381 (a. 1023).

ИЗДАНИЕ: Miracula S. Georgii. Ed. J. B. Aufhauser. Lipsia, 1913, pp. 18—40, гдето е добавена и една простонародна гръцка преработка.

КНИЖНИНА: *J. B. Aufhauser*, Das Drachenwunder des hl. Georg in der griechischen und lateinischen Überlieferung. Leipzig, 1911, p. 27. — *Хр. М. Лопарев*, Новейшая литература о св. Георгия Победоносца. ВВр. XX (1913), стр. 2 и сл. — *К. Миятев*, Нови данни за българите през X в. ИБАИ, VI (1930), стр. 281—283. — *Moravcsik*, Byzantinoturcica, I, pp. 441—442. — Новобългарски превод на „чудото“ по друга редакция: Живота, страданията и чудесата на светаго великомъченика, победоносца и чудотворца Георгия. С прибавление как се е създала светата славяно-българска обител на Атона, Света Гора, 1906, стр. 40—45. — *Ив. Дуйчев*, Разказ за „чудото“ на великомъченик Георги със сина на Лъв Пафлагонски — пленник у българите. Изследвания в памет на К. Шкорпил, София, 1961, стр. 189—200. *I. Dujčev*, Due note di storia medievale, Byzantion, XXIX—XXX (1959—1960), p. 259—261 (Mélanges C. Giannelli).

MIRACULUM S. GEORGII

Διήγησις περὶ τοῦ παραδόξου θαύματος τοῦ ἁγίου καὶ πανενδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ παρ᾽ αὐτοῦ γεγονότος εἰς ἀχμαλ[ωτ]ισθέντα παῖδα καὶ παρ᾽ ἐλπίδα σωθέντα

Εἰδέναι ὑμᾶς βούλομαι, ὦ φιλόχριστον ἄθροισμα καὶ ἱερὸν ἀκροατήριον, ὅτι οἱ τῆς τῶν Παφλαγόνων χώρας οἰκήτορες μεγίστην πίστιν καὶ πόθον διάπυρον εἰς τὸν πανένδοξον καὶ μεγαλομάρτυρα Γεώργιον κέκτηνται, ὥστε τούτῳ ἱεροὺς καὶ σεβασμίους ναοὺς καὶ δείμασθαι καὶ σέβεσθαι καὶ σχολάζειν ἐκ πόθου αὐτοῖς ἐπισπεύδουσι, καὶ τὰς τούτου ἑορτάς τε καὶ πανηγύρεις πιστῶς καὶ αἰσίως ἐκτελεῖν προτεθύμηνται, καὶ μάλιστα οἱ ἐν τῇ περιχώρῳ τῆς Ἀμαστρίδος διάγοντες ὡς παρακατιὼν ὁ λόγος δηλώσειεν.

Ἐν οἷς ἐν τόπῳ τινὶ λεγομένῳ τοῦ Ποταμοῦ ἤτοι τοῦ Οἰκιακοῦ ναὸς αὐτοῦ ἵδρυται περικαλλὴς καὶ σεβάσμιος, ἐν ᾧ πάντες οἱ μετὰ πίστεως προστρέχοντες τὰς αἰτήσεις ἑτοίμως λαμβάνουσιν. ἄνθρωπος δέ τις ἦν ὀνόματι Λέων, εὐσεβὴς καὶ φοβούμενος τὸν θεὸν καὶ ἐν αὐταρκείᾳ πλούτου διαβιούς· ἔσχε δὲ γυναῖκα σεμνοπρεπεστάτην, ὀνόματι Θεοφανὼ ὁμοιότροπον τῆς αὐτοῦ ἀγαθῆς προαιρέσεως (p. 18,1—19,10).

ἦν δὲ καὶ ἐν τοῖς στρατιωτικοῖς καταλόγοις τεταγμένος ὁ ἀνήρ, ὃς τὴν τῆς στρατείας ὑπηρεσίαν ἀπαραιτήτως ὑπηρετῶν διετέλει· τίκτεται δὲ αὐτοῖς παιδίον ἀρρενικόν, ὅπερ μετὰ πίστεως εἰλικρινοῦς ἐν τῷ τοῦ ἁγίου μεγαλομάρτυρος πανσέπτῳ ναῷ τῷ ἁγίῳ βαπτίσματι ἀναγεννήσαντες καὶ τῷ τοῦ μάρτυρος πόθῳ θελγόμενοι Γεώργιον αὐτὸν ἐπωνόμασαν. ἀπογαλακτισθέντος δὲ τοῦ παιδὸς Γεωρίου εἰς ἱερῶν γραμμάτων μάθησιν τοῦτον δεδώκασι τῷ ἐκεῖσε ἱερεῖ καὶ προσμοναρίῳ τοῦ πανσέπτου ναοῦ τοῦ μάρτυρος (pp. 19,15—20,6).

Τούτων δὲ οὕτως ἐχόντων γέγονεν ἡ τῶν δυτικῶν ἐθνῶν πρὸς ἡμᾶς τοὺς χριστιανοὺς σφοδροτάτη ἐπανάστασις, λέγω δὴ Βουλγάρων καὶ Οὔγγρων καὶ Σκυθῶν καὶ Μήδων καὶ Τούρκων, ὥστε μονονουχὶ τὰ πλησιάζοντα αὐτοῖς μέρη καταλυμήνασθαι, ἀλλὰ καὶ τὴν βασιλεύουσαν θεοπύργωτον ἡμῶν πόλιν πορθῆσαι ἐβουλεύοντο, εἰ μὴ ἡ τοῦ παντοδυνάμου θεοῦ φιλανθρωπία καὶ πρόνοια φροῦδον αὐ-

„ЧУДОТО“ НА СВ. ГЕОРГИ

Повествувание за необикновеното чудо на светия всеславен великомъченик Георги, извършено от него спрямо попадналото в плен и неочаквано спасено момче

Желая да знаете, о христолюбиво събрание и свето слушателство, че жителите на пафлагонската земя[1] и особено онези които обитават в околността на Амастрида[2], както по-нататък словото ще покаже, питаят преголяма вяра и гореща любов към всеславния и великомъченик Георги, та са му построили свещени и божествени храмове, благоговеят (пред него) и поради обич се стремят да пребивават в тях, а неговите празници и тържества се стараят да празнуват набожно и честито. Там на едно място, наречено Река или Оикиакос, бил построен един негов прекрасен и свещен храм, в който молбите на всички, които се притичвали с вяра, незабавно били изпълнявани. Имало един човек на име Лъв, който бил благочестив, боял се от бога и прекарвал живота си в достатъчно богатство. Той имал жена на име Теофано, твърде благоприлична и подобна нему по благонравие.— — — Мъжът бил включен във войнишките списъци[3] и неотклонно изпълнявал военната служба. Родило им се мъжко дете, което те с чиста обич възродили чрез светото кръщение в многопочитания храм на светия великомъченик и, привлечени от обич към мъченика, нарекли го Георгий. След като детето Георгий било откърмено, те го дали при тамошния свещеник и просмонарий[4] на многопочитания храм на мъченика, за да научи свещеното писание.— — —

След като станали тези неща, надигнали се с преголяма сила срещу нас, християните, народите на Запада[5], сиреч българите, угрите, скитите, мидите и турките[6], та не само опустошили близките тям области, но щели да разорят и нашия царствуващ богоукрепен град, ако човеколюбието и промишлението на всемогъщия бог не осуетило

---

[1] Тема Пафлагония обхващала част от южното черноморско крайбрежие и граничела с темите Букеларий на запад и Армениакон и Харсианон — на изток и югоизток. [2] Градът Амастрис, разположен на южното черноморско крайбрежие в Пафлагония. [3] Лъв принадлежал към съсловието на стратиотите. [4] Просмонарий — църковен пазач. Срв. *Du Cange*, Glossarium s. v. [5] Под Запад (*Δύσις*) във византийските извори се разбират обикновено земите на Балканския полуостров. [6] Обозначенията са неточни. В това твърде общо посочване трябва да се изключи името на мидите, които не са обитавали в западните области на империята. С името скити житиеписецът вероятно отново обозначава маджарите. Името турки също би могло да се тълкува като означение за маджарите, наричани „западни турки“; вж. *Moravcsik*, Byzantinoturcica, II, pp. 391—322. Вероятно в упоменаването на маджарите се крие спомен за техните нахлувания във Византийската империя през X. в. Ако посочванията на житиеписеца се приемат за верни, следва да се допусне, че на страната на българите в 917 г. са воювали като съюзници и маджарите.

τῶν τὰς βουλὰς ἀπετέλεσεν. οἱ δὲ τὰ ʽΡωμαίων σκῆπτρα κατέχοντες προστάττουσι πανταχοῦ τοὺς ὑπ' αὐτῶν γενομένους καὶ στρατοπεδαρχοῦντας τοῖς ʽΡωμαικοῖς στρατεύμασι. τούτου οὖν τοῦ ἀπαραιτήτου καὶ ἐπαχθοῦς προστάγματος κατεπείγοντος, ὁ προειρημένος στρατιώτης Λέων εἰς γῆρας ἐληλακώς, οὐκ ἠδύνατο τὴν τῆς στρατείας ὑπηρεσίαν καὶ ὁδοιπορίαν τελέσαι· διὰ τοῦτο καὶ ἄκων καὶ μὴ βουλόμενος τὸν ἑαυτοῦ μονογενῆ υἱὸν Γεώργιον, κομιδῇ νέον ὄντα καὶ τὴν τῶν μειρακίων ἡλικίαν ἀρξάμενον, ἀντ' ἐκείνου εἰς τὴν τῆς στρατείας ὑπηρεσίαν ἐκπέμψαι ἐβουλεύσατο, ὅντινα λαβὼν ἅμα τῇ τούτου μητρὶ εἰς τὸν τοῦ ἁγίου μάρτυρος ναὸν ἀπῄεσαν τοιαύτας ἱκετηρίους καὶ θρηνώδεις φωνὰς πρὸς τὸν μάρτυρα λέγοντες· „Ἅγιε μάρτυς τοῦ Χριστοῦ Γεώργιε, σοὶ παρατιθέμεθα τοῦτον ἡμῶν τὸν μονογενῆ καὶ φίλτατον υἱόν, ὃν καὶ τῷ σῷ πόθῳ θελγόμενοι, Γεώργιον ὠνομάσαμεν· σὺ αὐτὸν διατήρησον, σὺ αὐτὸν κυβέρνησον, σὺ αὐτὸν κατευόδωσον καὶ ἀσινῆ καὶ ἀλώβητον πάλιν ἡμῖν ἀποκατάστησον, ὅπως ἐπὶ πλεῖον τὴν πρός σε πίστιν καὶ εὐχαριστίαν ⟨προσεπιτείνωμεν⟩ ὡς κατὰ πάντα σὲ ἔχοντες προνοητὴν καὶ ὑπέρμαχον.“

Ταῦτα καὶ πλείονα τούτων γοερῶς τε καὶ ὀδυνηρῶς ἱκετεύσαντες καὶ ἐπευξάμενοι, ἀπέστειλαν τὸν ἑαυτῶν υἱὸν Γεώργιον μετὰ τῶν λοιπῶν στρατιωτῶν θρηνοῦντες καὶ ὀδυρόμενοι, καὶ οὐ διέλειπον ἀδιαλείπτως ὑπὲρ αὐτοῦ νύκτωρ τὲ καὶ μεθ' ἡμέραν τὸν ἅγιον παρακαλοῦντες καὶ ἐκβιαζόμενοι τοῦ συνοδεῦσαι καὶ ἐνισχῦσαι καὶ τὰ τῆς σωτηρίας αὐτοῦ προνοήσασθαι καὶ σεσωσμένον καὶ ὑγιῆ τοῦτον ἀπολαβεῖν.

Συνηθροίσθησαν δὲ ἀπὸ πάσης ἐπαρχίας καὶ χώρας τῆς ὑπὸ τῆς ʽΡωμαϊκῆς στρατοπεδαρχίας τεταγμένης πλήθη λαῶν ἄπειρα, καὶ κατήντησαν ἐν τοῖς μέρεσι τῶν προλεχθέντων ὀλεθρίων ἐθνῶν, ἐν τόπῳ ἀνεπιτηδείῳ παρὰ θάλασσαν. οὕστινας οἱ πολέμιοι ἐχθροὶ ἔνοπλοι ἐξαίφνης ἐπαναστάντες ἐξέπληξαν καὶ ἐξηφάνισαν καὶ τοῦτο οἶμαι διὰ τὴν ἄμετρον πληθὺν τῶν ἀνομιῶν καὶ ἀδικιῶν ἡμῶν τοῖς ἀνεφίκτοις καὶ ἀνεξιχνιάστοις κρίμασι τοῦ θεοῦ, μόνος αὐτὸς ἐπίσταται ὁ πλάσας ἡμᾶς καὶ διεξάγων, οἷς συνέβη τὴν τῶν Χριστιανῶν σύμπτωσιν ἐκεῖσε γενέσθαι· καὶ οἱ μὲν ὑπὸ ξιφῶν ἀνῃρέθησαν, οἱ δὲ ἐν τῇ θαλάσσῃ κατεποντίσθησαν, ἕτεροι δὲ ἐν πνιγμονῇ καὶ καταπατήσει ἵππων καὶ συμπτώματι βιαίῳ τεθνήκασι καὶ ἄλλην ἄλλως πολυτρόποις θα-

техните замисли. Обладателите на ромейския скиптър[1] изпратили повеля навсякъде, до всички свои поданици и до военоначалниците на ромейските войски. Когато прочее тази наложителна и обременителна повеля се получила, споменатият воин Лъв бил достигнал старост и не бил в състояние да изпълнява военната служба и да вземе участие в похода. Поради това против волята си и с нежелание той решил да изпрати вместо себе си своя еднороден син Георги, за да изпълни военната служба, ако и този да бил съвсем млад и едва навлизал в юношеска възраст. Като го взел заедно с майка му, отишли в храма на светия мъченик и отправили към мъченика умолителни и жалостиви слова, казвайки: „Свети мъченико Христов Георги, на тебе предоставяме този наш еднороден и прелюбим син, когото, подтикнати от обич към тебе, нарекохме Георги. Ти го пази, ти го направлявай, ти го напътствувай и отново ни го върни невредим и непокътнат, та да придобием още по-голяма вяра и благодарност към тебе, смятайки те за попечител и защитник във всичко“. След като се помолили жално и скръбно с такива и още други думи и произнесли молитва, те с плач и ридание изпратили сина си Георги заедно с другите войници. После те не престанали постоянно да призовават за него нощ и ден светеца и да го подтикват да го съпътствува, да го крепи и да промишлява за неговото спасение, та да го посрещнат жив и здрав.

От всички провинции и области, подчинени на ромейското военно командуване, се събрали огромно множество войски и стигнали в земите на споменатите пагубни народи на едно несгодно място при морето[3]. Омразните врагове внезапно се навдигнали въоръжени, изненадали ги и ги унищожили. Това станало, смятам, заради неизмеримото множество наши беззакония и несправедливости, поради неизбежните и неиздирими съдби на бога, за които само той, нашият създател, знае и ги направлява и вследствие на които станало на онова място поражението на християните. И едни били избити от меч, други се издавили в морето, трети пък погинали задушени и смазани от конете или поради друго някое насилие, като всеки

[1] Изразът *οἱ τὰ Ρωμαίων σκῆπτρα κατέχοντες* може да се тълкува като указание за съвместното управление на малолетния Константин VII Багренородни с майка му Зоя до узурпацията на Роман Лакапин. [2] Вероятно става дума за областта на Анхиало (дн. Поморие) и тамошното крайбрежие, гдето станало сражението между византийци и българи на 20 август 917 г. За подробности вж. *Златарски*, История I, 2, стр. 385 сл. Във вулгарногръцката преработка на „чудото“ (*Aufhauser*. op. cit., p. 23) във връзка с сражението се споменава името на византийския „император Фока“ (*ὁ βασιλεὺς Φωκᾶς*), в което очевидно се крие посочване за тогавашния главнокомандуващ на византийската сухопътна войска магистър Лъв Фока.

νάτου εἴδεσιν ἐτελεύτησαν· ἄλλοι δὲ αἰχμάλωτοι ληφθέντες καὶ εἰς φυλακὰς ζοφώδεις καὶ δεσμωτήρια βληθέντες καὶ λιμῷ καὶ δίψει καὶ κακουχίαις πιεζόμενοι καὶ τιμωρούμενοι, κακοὶ κακῶς τὸ ζῆν ἀπέρρηξαν· οἱ δὲ καὶ εἰς πικρὰς δουλείας κατεμερίσθησαν, μόλις δὲ ἐκ τῶν πολλῶν ὀλίγοι φυγάδες γενόμενοι διεσώθησαν. ὁ δὲ παῖς Γεώργιος τῇ τοῦ θεοῦ βοηθείᾳ καὶ τῇ τοῦ ἁγίου μάρτυρος προμηθείᾳ καὶ ταῖς τῶν γονέων εὐχαῖς φυλαττόμενος, σῶος καὶ ἀβλαβὴς διετηρήθη, μήτε πληγὴν ὑπὸ ξίφους δεξάμενος, μήτε σύμπτωσίν τινα πεπονθώς, μήτε τινὰ ἀλγηδόνα θανατηφόρον ὑποστάς, ἀλλ᾽ ἦν κρατηθεὶς παρά τινος ἐθνάρχου· ὃν ἐκεῖνος εὐειδέστατον καὶ ὡραῖον θεασάμενος, ἄνευ δεσμῶν καὶ μαστιγώσεως εἰς δουλείαν ἑαυτοῦ καὶ ὑπηρεσίαν εἶναι προσέταξεν ἀπαχθέντα ἐν τῷ ἔθνει αὐτοῦ. ἦν δὲ ὁ παῖς εὐχαριστῶν τῷ θεῷ καὶ τῷ ἁγίῳ μεγαλομάρτυρι Γεωργίῳ ὅτι τέως ζῶν καὶ ἀβλαβὴς διετηρήθη, ἀόκνως δὲ καὶ φιλοπόνως ἐκτελῶν διετέλει τὴν τοῦ δεσπότου ὑπηρεσίαν σπεύδων εὐάρεστος αὐτῷ φανῆναι.

Οἱ δέ γε τούτου γονεῖς, τοῦ χρόνου ἤδη παρῳχηκότος καὶ τοῦτον μὴ ἀπολαβόντες, ἤρξαντο τοῖς φυσικοῖς σπλάγχνοις σπαράττεσθαί τε καὶ καταφλέγεσθαι καὶ λίαν ὀδυνηρῶς καὶ θρηνητικῶς ἐποδύρεσθαι. καὶ ὁ μὲν πατὴρ τοιαύταις φωναῖς ἐκέχρητο· „Οἴμοι οἴμοι! μονογενὲς καὶ παμφίλτατε, οἴμοι ἀναψυχὴ τοῦ γήρους μου! διὰ τί γὰρ ἐγὼ ὁ γεγηρακὼς καὶ ἀδύνατος μὴ κατὰ τὸ σύνηθες ἐπορεύθην εἰς τὴν τῆς στρατείας ὑπηρεσίαν καὶ παρανάλωμα τοῖς ὑπεναντίοις γέγονα· σὲ δὲ διὰ τί μὴ κατέλιπον ἐν τῷ οἴκῳ ὡς νεόφυτον κλάδον παραμυθίαν τῇ σῇ μητρὶ καὶ ἀνάπαυσιν καὶ εὐκληρίαν ἐσόμενον τοῦ γένους μου; οἴμοι τί πράξω; τί ἐννοήσω; τίνα παρηγορίαν τοῦ γήρους μου λήψομαι; τίνα τῆς οὐσίας μου κληρονόμον καταλείπω; τίς με ἀδυνατοῦντα καὶ γεγηρακότα θεραπεύσει, θανόντα τε ταφῇ παραδώσει καὶ τὰ μνημόσυνά μου τελέσει; οἴμοι τῷ ταλαιπώρῳ! πῶς κατέλθει τὸ γῆράς μου μετὰ λύπης εἰς Ἅιδην." ἡ δὲ μήτηρ ἔτι γοερώτερον θρηνοῦσα τοιαῦτα καὶ αὐτὴ ἀπεφθέγγετο· „Οἴμοι τέκνον μου γλυκύτατον. οἴμοι παραμυθία τῆς ἐμῆς ψυχῆς! οἴμοι φῶς τῶν ἐμῶν ὀφθαλμῶν! ἆρα πῶς σε θρηνήσω ἢ ποίῳ τρόπῳ τὴν στέρησίν σου ἀποκλαύσομαι; ἆρα ὑπὸ ξιφῶν ἀνῃρέθης ἢ ὑπὸ ἵππων κατεπατήθης; ἆρα ἐν τῇ θαλάσσῃ κατεποντίσθης ἢ ὑπὸ τῶν συμπτωμάτων κατεχώσθης; ἆρα εἰς φυλακὰς καὶ δεσμωτήρια κατεκλείσθης ἢ λιμῷ καὶ δίψει ἐκτηκόμενος ἀνῃρέθης; ἆρα μετὰ τῶν ζώντων σε λογιζώμεθα ἢ μετὰ τῶν τεθνηκότων σε μνημονεύσωμεν; τίς δὲ καὶ δώσει μοι πτέ-

намерил по различен начин смъртта си. Други пък били заловени пленници, хвърлени в мрачни затвори и тъмници, измъчвани и наказвани чрез глад, жажда и незгоди и така нещастните нещастно завършили живота си. Други пък били разпределени за горчиво робуване, а от мнозина само малцина едва избягали и се спасили. Момъкът Георги се спасил и запазил здрав и читав поради божията помощ, грижата на светия мъченик и молитвите на своите родители, и нито от меч бил ударен, нито пострадал от някакво зло, нито понесъл някаква смъртоносна мъка, но бил заловен от някакъв първенец[1]. Този, като го видял, че е красив на вид и хубав, заповядал, без да му бъдат налагани окови и без да бъде бичуван — да бъде отведен сред неговия народ и да робува и слугува при него. А младежът, като поблагодарил на бога и на светия великомъченик Георги, че до това време се запазил жив и невредим, изпълнявал пъргаво и трудолюбиво службата при господаря си и се стараел да му се понрави.

А неговите родители, тъй като вече минавало време и той не се завърнал, започнали да се измъчват в сърцата си, да изгарят (от мъка) и да жалеят с много скръб и плач. И бащата изрекъл такива слова: „Горко ми, горко ми, о еднородни и прелюбими (сине), горко ми, утеха на моята старост! Защо прочее аз, остарелият и немощен, не се отправих според обичая на военна служба и не станах жертва на противниците? Защо не оставих тебе като новоизникнала издънка в къщи за утешение и за успокоение на твоята майка, за да бъдеш щастлив жребий на моя род? Горко ми, що да сторя? Що да измисля? Какво утешение за моята старост да получа? Кого наследник на моето имущество да оставя? Кой ще се погрижи за мене, немощния и стария, а когато умра, кой ще ме положи в гроба и ще извършва помен за мене? Горко ми, нещастника! Как старостта ми с печал се отправя в ада". А майката, като ридаела още по-жалостиво, също и тя произнасяла такива думи: „Горко ми, чедо мое пресладко! Горко ми, утешение на моята душа! Горко ми, светлина на моите очи! Как ли да те оплача или по какъв начин да оaccess жаля раздялата с тебе? Дали бе погубен от меч или бе смазан от коне? Дали се удави в морето или пък бе затрупан под труповете? Или бе затворен в затвори и тъмници или погина, изнурен от

[1] Племенното деление сред българите е било премахнато след закрепването на държавата, следователно обозначението *ἔθναρχος* трябва да се тълкува по-общо.

ρυγας περιστερᾶς καὶ πετασθήσομαι, ἵνα ἐλθοῦσα ἐν τοῖς αὐτόθι ἐρευνήσω ἐν τοῖς συμπτώμασι τῶν τεθνεώτων καὶ κἂν βραχύ τι ἐκ τῶν σῶν φιλτάτων μελῶν ἢ ὀστέων ἰσχύσω ἀναλαβεῖν καὶ κομίσω ἐνταῦθα τοῦ συνταφῆναί μοι ἐν τῷ καιρῷ τῆς ἐξόδου μου. εἰ γὰρ ἐνθάδε τέθνηκας, ὦ τέκνον, ἀνεκτοτέραν τὴν ὀδύνην ἂν ἔσχον ταῖς οἰκείαις χερσί σε ἐνταφιάσασα καὶ ταφῇ παραδοῦσα καὶ πρὸς μικρὰν παραμυθίαν τῷ τάφῳ σου παρακαθημένη καὶ κλαίουσα."

Ταῦτα καὶ τὰ τούτων πλείονα θρηνῳδοῦσα ἡ μήτηρ ὀδυνηρῶς ἀπεφθέγγετο, οἷα εἰκὸς φιλότεκνος μήτηρ ἐπὶ στερήσει καὶ χωρισμῷ μονογενοῦς καὶ φιλτάτου υἱοῦ ἐν θλίψει ἀπολοφύρεσθαι (pp. 20, 18—27, 2).

Ὡσαύτως δὲ καὶ ὁ παῖς Γεώργιος ἐν τῇ αἰχμαλωσίᾳ καὶ δουλείᾳ ὑπάρχων, τὰ ὅμοια τούτοις ἢ καὶ πλείονα εἰλικρινῶς μετ' οἰμωγῆς πρὸς τὸν μάρτυρα ἀπεφθέγγετο λέγων· „Ἅγιε τοῦ Χριστοῦ μάρτυς Γεώργιε, οὐ σοί με παρέθεντο οἱ ἐμοὶ γονεῖς, οὐκ ἐν τῷ πανσέπτῳ σου ναῷ τὸ ἅγιον βάπτισμα ἔλαβον καὶ τὴν κλῆσιν τοῦ ὀνόματός σου ἐπικέκλημαι καὶ τὴν τῶν ἱερῶν γραμμάτων μάθησιν ἐν ἐκείνῳ πεποίημαι; ἵνα τί οὖν τὴν τῶν ἐμῶν γονέων δέησιν καὶ ἱκεσίαν παρεῖδες καὶ κατεδέξω εἰς δουλείαν με ἀπαχθῆναι καὶ πολλὰ δεινοπαθεῖν ἐπὶ χώραν ἀλλοδαπὴν καὶ ἄλογον τοῦ ἀσεβεστάτου καὶ ἀπηνοῦς ἔθνους τούτου, μήτε τὰ τῶν γονέων μου δάκρυα οἰκτίρας, μήτε τὴν ἐμὴν νεότητα ἐλεήσας; ἀλλ' ὅμως, κἂν ἀπὸ τοῦ νῦν ἐνταῦθα, μὴ ἐγκαταλίπῃς με, εἰς ἡμερότητα τὴν τούτων θηριώδη γνώμην μεταποιῶν καὶ τοὺς ἐμοὺς γονεῖς ὡς συμπαθὴς παραμυθούμενος."

Τούτων δὲ οὕτως τελουμένων, παρῆν καὶ ἡ ἐτήσιος μνήμη τοῦ μάρτυρος, ἥνπερ εἰώθασιν ἐκ πίστεως καὶ πόθου κατ' ἐνιαυτὸν λαμπρῶς ἐπιτελεῖν οἱ τοῦ ἐν αἰχμαλωσίᾳ παιδὸς γεννήτορες. καθ' ὅσον οὖν τότε ἤγγιζεν ἡ τοιαύτη ἑορτή, κατὰ τοσοῦτον σφοδρότερον οὗτοι τὸν θρῆνον ἐπέτεινον, ὅμως ἔσπευδον κατὰ τὸ σύνηθες ταύτην φιλοφρόνως καὶ σὺν πολλῇ προθυμίᾳ καὶ πίστει ἐκτελέσαι· καὶ δὴ φθασάσης ἤδη τῆς ἱερᾶς μνήμης τοῦ ἐνδόξου μάρτυρος, μετὰ τὴν τοῦ λυχνικοῦ ψαλμῳδίαν, καθὼς ἔθος ἐστὶ τοῖς ἐγχωρίοις, τράπεζαν παρατιθέναι τοῖς προσήκουσι, τοῦτο καὶ αὐτοὶ πεποιηκότες, ἐν ἀφθονίᾳ ἀγαθῶν, πάντας τοὺς φίλους καὶ συγγενεῖς, πένητάς τε καὶ τοὺς παρατυχόντας λοιποὺς ἐπὶ τὴν

глад и жажда? Дали да те смятаме между живите или да те поменуваме с умрелите? Кой ще ми даде крила на гълъб, за да отлетя и да пристигна там, да те издиря сред труповете на погиналите, да мога да открия поне малка частица от милите твои членове или кости, за да я донеса тук, за да бъде погребана заедно с мене, когато напусна (този свят)? Защото, ако ти бе умрял тук, о чедо, моята мъка щеше да бъде попоносима, като бих те погребала и положила в гроба със собствените си ръце и щях да имам малка утеха, приседнала на гроба ти и ридаеща.

Майката скръбно изричала с плач тези и още много други такива думи, както е обичайно за чедолюбива майка, да жалее в мъка при лишение и раздяла с еднороден и прелюбим син.——— Също така и младежът Георги, който се намирал в пленничество и робия, отправял с искреност и с ридание такива и още по-многочислени слова към мъченика, като казвал: „Свети мъченико Христов Георги, не ме ли повериха на тебе моите родители, нима не получих светото кръщение във всесветия твой храм и не бях ли наречен на твоето име, не научих ли в него светите писания? Защо прочее ти презря молбата и молитвата на моите родители и допусна да бъда отведен в робство и много да пострадам в чуждата и непросветена страна на този напълно безбожен и суров народ[1], като не се смили нито над сълзите на моите родители, нито моята младост съжали? Но ако и да оставам тук, все пак занапред не ме изоставяй, като обърнеш в кротост дивия нрав на тези (люде) и като състрадателен, утешиш моите родители".

След като станали тези неща, настъпил и годишният помен на мъченика[2], който ден родителите на падналото в плен момче имали обичай ежегодно с вяра и обич тържествено да празнуват. И тъй, колкото повече тогава наближавал този празник, толкова по-силно надавали те плач и все пак се постарали да го отпразнуват според обичая си, с почит, с голямо усърдие и вяра. И наистина, когато вече настъпил (денят) на светата памет на прославения мъченик и след светилното песнопение според обичая на местните жители се слагала трапеза на родствениците, сторили това също и те и поканили на трапезата, при обилие на благини, всички приятели и сродници, бедни и

[1] Българският народ вече отдавна е бил покръстен и през първата четвърт на X в. преживявал епоха на културен подем. В думите на пленения младеж прочее трябва да виждаме агиографско преувеличение на фактите.
[2] Сиреч 23 април с. ст., след., става дума за Гергьовден 918 г.

τράπεζαν προετρέψαντο· τούτων τοίνυν ἐν τῇ τραπέζῃ καθεσθέντων, οὐδὲν ἕτερον ἅπαντες ἀλλ' ἢ περὶ τοῦ παιδὸς (p. 28, 6 — 30, 8).

Ἦν δὲ καὶ ὁ παῖς Γεώργιος ἐγνωκὼς ἐν τῇ αἰχμαλωσίᾳ κατ' ἐκείνην τὴν ἑσπέραν τὴν τοῦ ἁγίου μνήμην εἶναι· αὐτὸς δὲ ἐν τῇ μαγειρικῇ καμίνῳ ὢν καὶ τὴν τοῦ θερμοῦ ὑπηρεσίαν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐκτελῶν, ἵστατο σύνδακρυς καὶ κατηφής, ἐνθυμούμενος κατὰ διάνοιαν, ὅτι „Ἐν τῷ οἴκῳ μου κατὰ ὥραν ταύτην μέλλουσι τὴν τοῦ ἁγίου μνήμην ἐπιτελεῖν οἱ ἐμοὶ γονεῖς καὶ οἱ παρατυγχάνοντες φίλοι καὶ γείτονες ἐπὶ τραπέζης κεκαθηκέναι· κἀγὼ ὁ ἐλεεινὸς καὶ αἰχμάλωτος ἐν ταῖς παρελθούσαις μνήμαις τοῦ μάρτυρος συμπαρήμην ἑορτάζων καὶ εὐφραινόμενος. ἀλλὰ καὶ ἐν τῷ πανσέπτῳ ναῷ αὐτοῦ τοῖς ἀθροιζομένοις συμψάλλων καὶ συναμιλλώμενος· νυνὶ δὲ ἐπ' ἀλλοδαπῆς χώρας αἰχμάλωτος καὶ δοῦλος γεγένημαι. μὴ γὰρ ἐγὼ μόνος ἀνάξιος εὑρέθην, ἅγιε τοῦ θεοῦ, τοῦ εἰσιέναι εἰς τὸν ναόν σου; ἆρα οἱ ἐμοὶ γονεῖς τὴν μνήμην σου ἐκτελοῦντες καὶ μὴ ὁρῶντές με, οὐχὶ τὴν στέρησίν μου πικρῶς θρηνήσουσιν; ἐγὼ δὲ ποίους ὕμνους ἐν τῇ μνήμῃ σου προσαγάγω σοι; ποίους ψαλμοὺς μελῳδήσω, εἰ μὴ δάκρυα ἀνενέργητα καὶ στεναγμοὺς ἀλαλήτους ἐκ κατωδύνου μου καρδίας φλογοειδῶς ἀναπεμπομένους. σώζου πάτερ, σώζου μῆτερ, σώζεσθε πάντες φίλοι καὶ γνωστοὶ καὶ συγγενεῖς καὶ μέμνησθέ μου τοῦ αἰχμαλώτου, κἄντε ζῶντι ὑπερευχόμενοι, κἄντε τεθνηκότι θρηνητικῶς μνημονεύοντες.“

Ταῦτα οὖν ἐννοῶν ἐν στεναγμοῖς ἀλαλήτοις ἠρέμα καὶ ἡσυχῇ, παραυτίκα προστάττουσιν αὐτῷ οἱ σύνδουλοι αὐτοῦ τὸ τοῦ θερμοῦ ἀγγεῖον ἆραι ἐκ τῆς μαγειρικῆς καμίνου καὶ πρὸς τὸν κύριον αὐτοῦ ἀνελθεῖν. ὁ δὲ τὰ δάκρυα ἀπὸ τῶν παρειῶν αὐτοῦ ἀποσμήξας καὶ ἀναλαβὼν τὸ τοῦ θερμοῦ ἀγγεῖον ὅπερ εἴωθεν ἡ ἐπιχώριος διάλεκτος καλεῖν κουκούμιον, καχλάζον καὶ ὑπερβλύζον σπουδαίως ὥρμησεν ἀνελθεῖν ἐν τῇ τραπέζῃ πρὸς τὸν κύριον αὐτοῦ. καὶ δὴ τούτου πορευομένου ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς Γεώργιος ἄρας αὐτὸν ἐκεῖθεν μετάρσιον ἐν ῥιπῇ ὀφθαλμοῦ φέρων, ἔστησεν ἐν τῷ πατρικῷ αὐτοῦ οἴκῳ μέσον, ἔνθα οἱ κεκλημένοι φίλοι καὶ συγγενεῖς ἐκάθηντο ἐπὶ τῆς τραπέζης, κατέχοντα μέντοι ἐν τῇ χειρὶ τὸ ῥηθὲν κουκούμιον ὡς ἄρτι ἐκ τῆς καμίνου ἁρπαγέν. ὅνπερ ἐξαίφνης θεασάμενοι οἵ τε γονεῖς καὶ πάντες οἱ παρατυχόντες, βουλγαρικὴν στολὴν ἠμφιεσμένον καὶ τὸ κουκούμιον ἐν τῇ χειρὶ αὐτοῦ κρατοῦν-

други случайно попаднали люде. След това, когато тези седнали на трапезата, всички говорели не за нещо друго, а само за момчето. — —

Момчето Георги в пленничеството също узнало, че тази вечер е поменът на светеца. Както се намирал при готварската пещ и по обичая си се грижел за топленето, стоял разплакан и опечален, като разсъждавал в ума си: „В моя дом по този час моите родители се готвят да чествуват паметта на светеца и присъствуващите приятели и съседи са седнали на трапезата. На миналите помени на мъченика участвувах заедно с другите и аз, горкият пленник, като празнувах и се веселях, пеех и се надпреварвах заедно с другите в досточтимия негов храм. Сега обаче съм пленник и роб в чужда страна. Та наистина само аз ли се намерих недостоен, божий светецо, да стъпя в твоя храм? Нима моите родители, като чествуват твоята памет и не ме виждат, не плачат горко за моето отсъствие? Аз пък какви песнопения да ти поднеса на твоя помен? Какви пения да изпея освен ненужни сълзи и неизречими стенания, които пламенно биват отпращани от моето измъчено сърце? Бъди здрав, татко; бъди здрава, майко; бъдете здрави, всички приятели, познати и сродници и си спомняйте за мене пленника било като се молите за мене като жив, било като в плач ме поменувате като мъртъв“.

И тъй, когато той тихо и спокойно в неизречими стенания си мислел това, изведнаж неговите другари роби му заповядали да вземе от готварската пещ съдината с топла [вода] и да се изкачи при господаря си. Той, като изтрил от ланитите си сълзите и взел съдината с топлата [вода], която обикновено на местния говор се нарича кукумий[1] и която още шумяла и кипяла, втурнал се бързо да възлезе на трапезата при господаря си. Точно тогава, както си вървял, прославеният Христов мъченик Георги го грабнал нагоре, както държал в ръка споменатия, едва що взет от пещта, кукумий, понесъл го оттам за миг и го поставил сред бащиния му дом, гдето поканените приятели и сродници били седнали на трапезата. Когато родителите и всички намиращи се там изведнаж го видели, облечен в българско одеяние[2] и държащ в ръката си кукумия, те се изу-

[1] *К. Миятев*, Нови данни за българите през X в., стр. 281—283, изказа мнение, че тук е употребена дума от първобългарски произход. *Gy. Moravcsik, Κουκούμιον* ein altbulgarisches Wort? Körön Csoma-Archivum, II. 6 (1932), pp. 436—440, посочва, че в същност това е гръцка транскрипция на лат. cucum (турското gügim, меден съд, г ю м). Думата се среща и в други византийски текстове, Вж. *Ив. Гошев*, Правилата на Студийския манастир. Год. СУБФ, XVII, 6 (1939—1946), стр. 49, 56; към това *I. Dujčev*: B. Z., XLII (1942), p. 336. [2] Посочване за своеобразието на българското облекло. Общо по въпроса вж. *J. Ivanov*, Le costume des anciens Bulgares. L'art byzantin chez les Slaves. Les Balkans, Premier recueil dédié à la mémoire de Th. Uspensky, Paris, 1930, pp. 325—334.

τα, ἐξίσταντο καὶ φωναῖς μεγίσταις ἐκέχρηντο. καὶ οἱ μὲν γονεῖς αὐτοῦ ἐκ τῆς ὑπερβαλλούσης ἀδοκήτου χαρᾶς πρηνεῖς κατέπεσον ἐπὶ γῆς ἄφωνοι· οἱ δὲ λοιποὶ περιπλακέντες τούτῳ καὶ καταφιλοῦντες, ἤρξαντο αὐτὸν ἐπερωτᾶν τὸν τρόπον τῆς ἐπανόδου αὐτοῦ. ὁ δὲ παῖς γνωρίσας τὸν ἑαυτοῦ οἶκον καὶ τοὺς ἰδίους γονεῖς καὶ πάντας τοὺς παρατυγχάνοντας ἐν ἀπορίᾳ καὶ ἐκπλήξει καὶ ἀμηχανίᾳ γέγονε καὶ αὐτός. ὅμως δὲ εἰς ἑαυτὸν ἐλθὼν καὶ τὰς ἰδίας φρένας ἐν καταστάσει ποιήσας ἤρξατο διηγεῖσθαι τὰ περὶ ἑαυτοῦ λέγων οὕτως ὅτι φησί „Ἐγὼ μὲν πλέον τι διηγήσασθαι ὑμῖν οὐκ οἶδα. ἓν δὲ τοῦτο οἶδα, ὅτι ταύτῃ τῇ στιγμῇ καὶ ῥοπῇ καὶ ὥρᾳ ἐν τῇ αἰχμαλωσίᾳ καὶ δουλείᾳ ἤμην, ἐν τῇ χώρᾳ Βουλγαρίας ἤμην καὶ τοῦτο, ὅπερ ὁρᾶτε ἐν τῇ χειρί μου κουκούμιον, ἐκ τῆς μαγειρικῆς καμίνου λαβὼν βράζον, ἔμελλον ἀναγαγεῖν ἐν τῇ τραπέζῃ πρὸς τὸν κύριόν μου· καὶ δὴ φθάσας τὴν κλίμακα τὴν ἐκεῖσε ἀναφέρουσαν ὁρῶ ἐν τῷ ἄκρῳ ταύτης ἄνδρα τινὰ ἔφιππον ἐν σχήματι στρατηλάτου ὁπλοφόρον ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου διαλάμποντα αὐγοειδέστερον, ὅστις ἀθρόως ἁρπάσας με καὶ ἀναλαβὼν ὡς τάχος ἀστραπῆς διήρχετο, μήτε κόπον μήτε κίνησιν ἐμοῦ αἰσθανομένου, πλὴν εἰ μήγε ἐν θαλάσσῃ προσεπιβάντες, ἐκ τῶν τοῦ ἵππου ποδῶν ὥσπερ ἔξαμα ὕδατος ταραττομένου, ψόφον τινὰ ἐκτυπούμενον ἐδόκουν ἀκηκοέναι. καὶ αὖθις ἐν ῥιπῇ ὀφθαλμοῦ πάλιν ἐν τῇ γῇ εὑρεθέντες ἐν φωτὶ καὶ λαμπρότητι διϊπτάμενοι, ἀκόπως καὶ ἀμογητὶ μὴ γινώσκοντός μου, ποῦ εἰμι ἢ πῶς πορεύομαι, ἐξαίφνης παραδόξως καὶ ἀπροσδοκήτως μετάρσιον ἐνταῦθα, ὡς ὁρᾶτε, ἀθρόως ἵστησιν ἐν μέσῳ ὑμῶν ἐν τῇ χειρί μου τὸ κουκούμιον τοῦτο κατεχόντα."

Ταῦτα παρὰ τοῦ παιδὸς ἀκούσαντες καὶ ἐν ἐκπλήξει γενόμενοι, ἐξῆλθον δρομαῖοι τοῦ οἴκου, τὸν διασώσαντα εὑρεῖν βουλόμενοι καὶ τοῦτον ταῖς πρεπούσαις τιμαῖς ἀμείψασθαι. μηδένα δὲ εὑρόντες ἢ κατασχόντες, πρὸς τὸν παῖδα παλινδρόμως ᾖεσαν τὸ παράδοξον τοῦ θαύματος σφοδρῶς ἐκπληττόμενοι, μάλιστα ὁρῶντες τὸ κουκούμιον ἐν τῇ χειρὶ αὐτοῦ βράζον καὶ ἀνακοχλάζον ὡς ἄρτι ἐκ τῆς καμίνου ἁρπαγέν. ἀνανήψαντες δὲ καὶ οἱ γονεῖς αὐτοῦ ἐκ τῆς λειποθυμίας περιεπλάκησαν τῷ τραχήλῳ τοῦ τέκνου αὐτῶν καταφιλοῦντες τοῦτον μετὰ θερμῶν δακρύων, κατανοοῦντές τε τοῦτον τρανώτερον διηπόρουν καθ' ἑαυτοὺς ἐννοοῦντες καὶ λέγοντες· „Ἆρα ἀληθές ἐστι τοῦτο, ὅτι τὸ τέκνον ἡμῶν ἐστιν οὗτος; ἆρα ὄντως τὸν υἱὸν ἡμῶν βλέπομεν;" τοιαῦτα καὶ ἕτερα πλείονα τί μὲν οὐ λέγοντες, τί δὲ οὐ πράττοντες ἄξια εὐχαριστίας ὑπὲρ τῆς γενομένης εἰς αὐτοὺς θαυματουργίας καὶ κηδεμονίας καὶ θερμῆς ἀντιλήψεως τοῦ ἐνδοξοτάτου μάρτυρος Γεωργίου. οὕτως τοίνυν μεταστρέψαντες τὴν ἐπόδυνον καὶ χαλεπωτάτην λύπην εἰς χαρὰν ὑπερβάλλουσαν καὶ μεγίστην, ἐδόξαζον ἅπαντες τὸν

мили и надали силни викове. Докато родителите му поради прекомерната неочаквана радост паднали ничком безмълвни на земята, другите, като го прегръщали и го целували, наченали да го разпитват по какъв начин се е завърнал. Като познало своя дом, родителите си и всички намиращи се там, самото момче и то изпаднало в недоумение, удивление и затруднение. Все пак, като дошло на себе си и се опомнило, наченало да разказва за своята съдба и казало така: „Аз повече не зная що да ви разказвам. Зная само това, че в същия миг и момент и час се намирах в пленничество и робство, бях в българската земя и като бях взел от готварската пещ кипящ кукумий, който виждате в ръката ми, готвех се да го изнеса на трапезата при господаря ми. Тъкмо когато стигнах стълбата, която се изкачваше нагоре, виждам на върха ѝ някакъв въоръжен мъж на кон като военачалник, по-бляскав и по-лъчист от блясъка на слънцето. Той изведнаж ме грабна, вдигна ме и ме понесе бързо като светкавица. Аз не усетих нито мъка, нито движение — освен това, че когато почнахме да минаваме над морето, стори ми се да чувам някакъв шум да се разнася сякаш водата се движеше от нозете на коня. После, след като прелетяхме, отново в миг се озовахме в светлина и блясък на земята без умора и без труд и без аз да позная где съм или как пътувам. Изведнаж по чуден начин и неочаквано, както виждате, внезапно попадам отгоре тук сред вас, като държа в ръката си този кукумий".

Като чули това от момчето и изпаднали в удивление, те тичешком излезли от дома, желаейки да намерят неговия спасител и да го възнаградят с подобаващата почит. Тъй като не намерили или не заварили никого, те отново се втурнали при момчето — удивени твърде много от невероятното чудо, особено като виждали в ръката му кипящия и врящ кукумий като току-що взет от пещта. А когато и родителите му се съвзели от припадъка, хвърлили се на шията на своето чедо и го целували с горещи сълзи, разглеждали го още по-проницателно, в недоумение си мислели в себе си и си казвали: „Нима това е истина, че това е нашето чедо? Нима действително виждаме нашия син?" Това и какво ли не още друго повече не казвали, що ли не правели за благодарност заради проявеното спрямо тях чудотворство, закрила и горещо застъпничество от страна на препрославения мъченик Георги? След това, като превърнали по този начин своята мъчителна и претежка печал в безмерна и пре-

ὑπεραγαθὸν καὶ φιλάνθρωπον κύριον καὶ θεὸν τὸν τοιαῦτα ποιοῦντα παράδοξα θαύματα διὰ τῶν αὐτοῦ θεραπόντων καὶ ἁγίων μαρτύρων, εὐχαριστοῦντές τε καὶ τῷ πανευφήμῳ ἀθλοφόρῳ Γεωργίῳ εἰς δόξαν αὐτοῦ καὶ ἀεὶ μνημόνευτον τιμὴν καὶ διήγησιν ἀξιέπαινον ἐκ τοῦ θερμοῦ τοῦ θαύματος ἐκ τῆς αἰχμαλωσίας διὰ τοῦ παιδὸς Γεωργίου κομισθέντος οἴνῳ κεράσαντες ἔπιον εἰς τὴν τοῦ ἁγίου μάρτυρος πρεσβείαν.

Θαῦμα δὲ ἐπὶ προσθήκῃ θαύματος, ἀδελφοί, ἀκούσατε. τὸ γὰρ ἐκ τῆς αἰχμαλωσίας λειφθὲν ἐκεῖνο κουκούμιον οὐ πάνυ μέγιστον ἦν, ἀλλὰ καὶ λίαν σμικρότατον. οἱ δὲ ἐν τῇ τοῦ ἁγίου μνήμῃ συναθροισθέντες πλεῖστοι τὸν ἀριθμὸν ὑπῆρχον. καὶ οὐ μόνον τοῖς ἐν τῇ τραπέζῃ καθημένοις ἐπήρκεσε πιεῖν, ἀλλὰ καὶ τοῖς παριστιμένοις καὶ ἐξυπηρετοῦσι καὶ πᾶσι τοῖς ἐν τῷ οἴκῳ καὶ λοιποῖς παρατυχοῦσι καὶ ἐπισυναχθεῖσιν ἐν τῇ ἑορτῇ τότε μήτε ἐλάττωσιν τοῦ θερμοῦ δεξαμένου μήτε ψυχρότητα ἐκ τοῦ τοσούτου διαστήματος, ἀλλ' ἦν ἀνακοχλάζον καὶ ζέον ὡς ὑπὸ λαυροτάτου πυρὸς ἐκφυσώμενον, ὢ τοῦ θαύματος! ὥσπερ γὰρ ἐπὶ τοῦ προφήτου Ἠλειοὺ τῆς φιλοξένου καὶ πτωχοτάτης χήρας ἡ δρὰξ τοῦ ἀλεύρου καὶ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη, οὕτως οὐδὲ ἡ ἐν τῷ σμικροτάτῳ κουκουμίῳ τοῦ θερμοῦ μετάδοσις ἔλλειψίν τινα εἰσεδέξατο, ἀλλὰ πᾶσιν ἐπήρκεσε, ὡς εἴρηται, ἀφθόνως μεταδιδόμενον. καὶ ὥσπερ ἡ ἐπὶ τῶν σχιδάκων τοῦ ὕδατος ἐπίκλυσις τὸ παρὰ φύσιν ἀναφθὲν πῦρ ὑπὸ τοῦ αὐτοῦ προφήτου Ἠλειοὺ οὐ κατέσβεσεν, ἀλλὰ μειζόνως ἀνήπτετο, οὕτω καὶ ἡ τοῦ θείου πυρὸς ἐνέργεια διὰ τῆς τοῦ μάρτυρος θερμοτάτης πρεσβείας τε καὶ δυνάμεως τὸ τοῦ θερμοῦ ἀγγεῖον προσεπανήπτετο καὶ διεπυροῦτο.

Πιόντες τοίνυν καθὰ προλέλεκται εἰς τὴν τοῦ ἁγίου μάρτυρος πρεσβείαν καὶ κορεσθέντες ἅπαντες, ἐπὶ πλεῖον εὐφράνθησαν, δοξάζοντες καὶ εὐχαριστοῦντες Χριστὸν τὸν θεὸν ἡμῶν (p. 30, 17 — 38, 4).

Δεδώκασι τὸ κουκούμιον ἐκεῖνο τὸ ἐκ τῆς αἰχμαλωσίας ἀποκομισθὲν ἐν τῷ τοῦ ἁγίου ναῷ, τοῦ εἶναι εἰς ὑπηρεσίαν τῆς ἑνώσεως τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐν τῷ ἱερατείῳ εἰς πίστωσιν καὶ μαρτυρίαν τῶν ὁρώντων τε καὶ ἀκουόντων τὰ περὶ τοῦ παραδόξου θαύματος. ὁ δὲ διασωθεὶς παραδόξως παῖς Γεώργιος τότε μὲν κομιδῇ μειράκιον ἦν· νῦν δὲ εἰς γῆρας ἐληλακώς, διηγεῖται αὐτὸς καθ' ἑξῆς τὴν γεναμένην εἰς αὐτὸν παράδοξον θαυματοποιΐαν καὶ σωτηρίαν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, μηδενὸς ἄλλου εἰς μαρτυρίαν ἐπιδεόμενος (p. 39, 4—14).

голяма радост, всички прославяли предобрия и човеколюбив господ и бог, който върши чрез своите служители и свети мъченици такива невероятни чудеса. Благодарейки също и на всепохвалния победоносец Георги, те за негова слава, вечно поменувана чест и достойно за похвала повествувание смесили с вино малко от топлата вода, донесена чрез това чудо от момчето Георги от пленничеството му, и пили в чест на светия мъченик.

Чуйте, братя, чудо в прибавка на чудото. Донесеният прочее онзи кукумий не бил много голям, но, напротив, твърде малък. А онези, които се били събрали по случай помена на светеца, били множина на брой. И той стигнал да пият не само онези, които били седнали на трапезата, но и онези, които стоели край тях и прислужвали, както и всички в дома и останалите, които попаднали и били привлечени тогава на празненството, без нито топлотата да се намали, нито поради толкова голямото разстояние да настъпи охлаждение, но — о чудо! кипял и врял сякаш нагряван от най-силен огън. Защото както при пророк Илия шепата брашно и съдинката с масло на странолюбивата и пребедна вдовица не намалявали[14], така и пренесената в мъничкия кукумий топла вода никак не намалявала, но стигала, раздавана, както казват, щедро на всички.— — —

След това, като пили всички, както вече се каза, за чест на светия мъченик и се наситили, още повече се развеселили, прославяйки и благодарейки на Христа бога наш— — —

Донесеният от пленничеството кукумий те дали в храма на светеца, за да служи в олтаря при смесването на непорочното тяло и честната кръв на Христа бога наш — за уверение и свидетелство пред онези, които виждат и слушат онова, що се отнася до необикновеното чудо. А спасеният по необикновен начин Георги тогава бил съвсем млад, а сега, достигнал до старост, сам разказвал поред за извършеното с него необикновено чудо и спасението си от светия великомъченик Георги — без да му е потребен (за това) никой друг като свидетел.

VI. МЕТОДИЙ ПАТАРСКИ

На Методий Патарски се приписва едно съчинение — „Точно изложение — „Точно изложение за царството на народите и до последни дни" — *Περὶ τῆς βασιλείας τῶν ἐθνῶν καὶ εἰς τοὺς ἐσχάτους καιροὺς ἀκριβὴς ἀπόδειξις*, — в което се засягат редица събития от Стария и Новия Завет и изобщо от историята на древния Изток. Това съчинение има апокалиптично-есхатологически характер. Запазено е в четири гръцки редакции, една латинска редакция и в два славянски превода. В третата гръцка редакция, за която се предполага, че е написана между X—XIII в., има едно споменаване за българите.

РЪКОПИСИ: B = Cod. Bodleianus Laud. 27 (XV s.). — T = cod. Taurin. 168 B. V. 27 (XVI s.).

ИЗДАНИЯ: *В. Истрин*, Откровение Мефодия Патарскаго и апокрифическия видения Даниила в византийской и славяно-русской литературах, Москва, 1897. Преводът е направен по това издание.

КНИЖНИНА: *M. Kmosko*, Das Rätsel des Pseudo-Methodius, Byzantion VI (1931), pp. 273—296. — *A. A. Vasiliev*, The Emperor Michael III in Apocryphal Literature, Byzantina — Metabyzantina I, 1 (1946), p. 237—248. — *Moravcsik*, Byzantinoturcica, I, p. 426.

METHODII PATARENSIS

NARRATIO DE GENTIUM REGNO

De Bulgaris notitia

Ἐκκοπείσης γὰρ τῆς τῶν Μακεδόνων βασιλείας καὶ τῶν Αἰγυπτίων ὡπλίσθη κατὰ τῶν Ρωμαίων οἱ γὰρ βασιλεῖς τῶν βαρβάρων τουτέστι Τοῦρκοι καὶ Βούλγαροι καὶ οὗτοι κατεπτώθησαν ὑπὸ τῆς τῶν Ρωμαίων βασιλείας (pp. 56, 26—57, 2).

МЕТОДИЙ ПАТАРСКИ

РАЗКАЗ ЗА ЦАРСТВОТО НА НАРОДИТЕ

Известие за българите

Защото, като било унищожено царството на македонците и египтяните, царете на варварите, т. е. турки и българи[1], се надигнали срещу ромеите, но и те били сразени от ромейското царство.

[1] Тук авторът е смесил събития от различни епохи. Хронологията на споменатите събития не е ясна.

VII. АРЕТА КЕСАРИЙСКИ

Точната дата на раждането и смъртта на Арета Кесарийски не се знае. Предполага се, че е живял между 850 и 932 г. В края на IX в. отишъл в Цариград, където станал ученик на патриарх Фотий. През 895 г. бил ръкоположен за дякон, а през 901 — за митрополит на Кесария, в Мала Азия. Арета Кесарийски получил солидно за времето си образование. Това личи от значителното литературно наследство, което ни е оставил. Той е написал редица схолии към съчиненията на писателите: Платон, Лукиан, Евсевий и др. От него са запазени също така някои писма и възхвални слова. Интересни сведения за българската история се съдържат в схолиите към съчиненията на Дион Хризостом и Аристид, във възхвалата на император Лъв VI, на император Роман Лакапин и в едно писмо до Григорий, митрополит на Ефес. Сведенията се отнасят до българо-византийските отношения от края на IX и първата четвърт на X в.

РЪКОПИСИ: Cod. Paris. gr. 219 (XI s.), f. 257—313. Cod. Paris. gr. 224 (XII s.), ff. 221—282.

ИЗДАНИЯ: *S. P. Šestakov*, К истории греко-болгарских отношений в третьем десятилетии X-го века, Bsl. III (1931), pp. 97—102. 3 (1931). — *R. J. H. Jenkins*: BZ, XLVII (1954), pp. 22—25. Текстът е по изданието на Шестаков.

КНИЖНИНА: *Krumbacher*, GBL, pp. 42, 524—525. — *Moravcsik*, Byzantinoturcica, I, pp. 226—227. — *Šestakov*, op. cit., pp. 97—99. — *В. Бешевлиев*: Известия на Историческото дружество в София, XI—XII (1931—1932), стр. 351—360. — *М. Шангин*, Византийские политические деятели первой половины X в., Византийский сборник, Москва, 1945, стр. 228—248. — *Същият*, Письма Арефы, новый источник о политических событиях в Византии 931—934. ВВр, I (1947), стр. 235—260. — *R. J. H. Jenkins — B. Laourdas — C. A. Mango*, Nine Orations of Arethas from cod. Marc. gr. 524, BZ, XLVII (1954), pp. 1—40. — *N. Βέης*, *Αἱ Ἐπιδρομαὶ τῶν Βουλγάρων ὑπὸ τὸν Τζάρον Συμεὼν καὶ τὰ σχετικὰ σχόλια τοῦ Ἀρέθα Καισαρείας*, *Ἑλληνικὰ* I (1928), pp. 337—370, откъдето е взет текстът на дадените тук две схоли на Арета. — *J. Darrouzès*, Inventaire des épistoliers byzantins du X[e] s., REB XVIII (1960), pp. 114—118; 125—126.

ARETHAE OPUSCULA

1. Romano imperatori

Ῥωμανῷ βασιλεῖ

Ἐπὶ μεγάλῳ κατορθώματι τῆς νῦν ἐνεργουμένης εἰρήνης κοσμικῆς καὶ ὅ μηδεὶς ἤλπισεν ἀνθρώπων, ἐκ μέντοι τῆς τοῦ ὑπεραγάθου Θεοῦ ἀνυπερβλήτου χρηστότητος ἐπιτελεσθέντι, αὐτῷ τῷ μεγάλα καὶ θαυμαστὰ ποιοῦντι Θεῷ τοὺς εὐχαριστηρίους ἀνα-

До император Роман

Относно големия успех, постигнат чрез сключения сега вечен мир[1], за който никой човек не се надяваше, но бе осъществен поради ненадминатата доброта на преблагия бог, въздаваме, доколкото е възможно на човешката природа, благодарствени гласове на

[1] Касае се за мира, сключен между България и Византия през октомври 927 г. Срв. *С. П. Шестаков*, К истории греко-болгарских отношений в третьем десятилетии X-го века, Byzantinoslavica, III (1931) p. 97. — *Златарски*, История, I, 2, стр. 525.

πέμπομεν φωνάς, ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει· σὲ δέ, βασιλεῦ θεόστεπτε, ἐφ᾽ οὗ ταῦτα ηὐδόκησεν ὁ ἀγαθὸς Θεὸς τοῖς ὑποχειρίοις ἡμῖν βραβευθέντα, τιμῶντες καὶ τῆς εὐτυχίας τοῦ τοσούτου μακαρίζοντες ἀγαθοῦ, ἀφ᾽ ὧν ἡ πενία ἡμῶν εὐπορεῖ δεξιοῦσθαι τετολμήκαμεν, ἀνάξια μὲν ἴσως τῆς σῆς τοῦ λαμβάνοντος τύχης καὶ δόξης, ἀλλὰ τῆς προθυμίας ἡμῶν ἐκ περιχαρείας τῶν τελουμένων τοῦ μεγάλου νομισθῆναι οὐκ ἐλαττούμενα, καὶ μάλιστα ὅτι τοιούτοις τὸ ἐπίγειον κράτος δωροφοροῦμεν, ὁπόσοις καὶ τὸν ἀνώτερον πάσης ἀρχῆς καὶ ἐξουσίας Θεόν· θυμίαμα γὰρ ἐκλεκτὸν τὸ δωρούμενον ἐν χρυσαργύρῳ σκεύει τεταμιευμένον, καὶ διὰ τούτων αἰνιττόμενοι καὶ εὐχόμενοι τὸ εἰς ὀσμὴν εὐωδίας Θεῷ καὶ ἀνθρώποις προβῆναι τὰ νῦν ἐπὶ τῇ κοσμικῇ εἰρήνῃ διοικούμενα, καὶ τῷ ἀπὸ τῆς βασιλείου ὀσφύος εὐγενεῖ βλαστήματι εἰς σύνδεσμον ἀδιάσπαστον τῆς εἰρήνης πρὸς γάμον ἐκδιδομένῳ, καλλίτεκνον καὶ πολύτεκνον προβῆναι τὸ ἔργον, ἵνα μὴ μόνον ἡ Ῥωμαίων ἀρχὴ καὶ βασιλεία διὰ τῆς σῆς διακοσμῆται αὐτοκρατορικῆς δόξης, ἀλλὰ καὶ τὰ βάρβαρα ἔθνη ὅλα διὰ τοῦ συγγενοῦς ὑμῖν ἐγκεντρίσματος ἐξημερῶται καὶ πρὸς ἀνθρωπίνης ζωῆς ἀρετὴν μεταποιῆται καὶ μεθαρμόζηται (p. 99).

бога, който извършва велики и чудни дела. А теб, боговенчани царю[1], при когото благият бог благоволи да ни даде това на нас, поданиците, които [те] почитаме и ублажаваме поради щастието от толкова голямото добро, ние се осмеляваме да те удостоим с тия неща, с които нашата нищета разполага и които може би са недостойни за щастието и славата на теб, който ги приемаш. Обаче поради нашето желание, породено от преголямата радост за това, което се извършва, не бива да бъдат смятани за недостойни за теб великия, и то особено когато обдаряваме с тия неща земната власт и бога, който стои над всякаква власт и господство. Защото дарът представя избран тамян и се съхранява в златосребърен съд. Като загатваме чрез тия неща, ние се молим, щото това, което сега се върши за всеобщия мир, да се издигне до бога и хората като дъх на благоухание. [Ние също се молим], щото дадената в брак благородна издънка[2] от царски род като неразкъсваема връзка на мира това дело да даде добър и богат плод, така щото не само ромейската власт и царство да се украсят чрез твоето самодържавно величие, но и всички варварски народи чрез присаждането на родствения вам присад да се облагородят и да преминат и се приспособят към добродетелта на човешкия живот.

2. Gregorio metropolitae Ephesi

До Григорий, митрополит на Ефес

Γρηγορίῳ μητροπολίτῃ Ἐφέσου

Ἀνεύθυνός σοι, σοφὲ τὰ πάντ᾽ ἀδελφέ, κύριε Γρηγόριε, ὁ χρηστὸς οὗτος Στέφανος, ὅς ἦν ὅτε Ἀδριανουπόλεως ἀρχιερεὺς ἐχρημάτισας, ἐφ᾽ οἷς τὰς ἐνόρκους αὐτοῦ παρασπονδήσας ὁμολογίας, εἶτα φυγὰς ὑπὸ ἀρρίχῳ κρυπτόμενος δρασμὸν ἐξετέλει, τῶν φοβερωτάτων αὐτοῦ ἀφειδήσας ὅρκων· οὗ σοι γένοιτο φιλαδέλφῳ κατ᾽ ἄκρας ἀναφανέντι καὶ τῇ ἀγχιστρόφῳ σου περινοίᾳ μὴ μόνῃ τῇ παρ᾽ ἑαυτῷ δαξιότητι ἀρκουμένῳ, εἰ μὴ καὶ θεῖα πρὸς ταῦτα ὑποδείγματα παρακαλοῦντι πρὸς ἄμαχόν τινα πίστιν τὰ προτεθέντα ἐξάγειν προῃρημένῳ, ἥ καὶ αὐτὴ οὐκ ἀδόκιμος ταῖς ἀποδεικτικαῖς ἐφόδοις νενόμισται, ὧν ταῖς ἐκ βαθυτάτων τῶν λογισμῶν ἀποδείξεσιν ἐπαγομένη καὶ ἐπιρρωννῦσα τὸ κατασκευαζόμενον,

Неповинен е за тебе, мъдри във всичко брате, господине Григорие[3], споменатият добър Стефан[4], който, когато ти беше архиерей на Адрианопол, наруши своите клетвени обещания, а след това, скрит в кошница, избягва бързо като беглец, след като беше нарушил своите най-страшни клетви. Дано се удаде на тебе, който си се проявил към него напълно братолюбив и който не се задоволяваш само с твоята опитност при внезапната ти недоверчивост, освен ако призоваваш за това божествени заповеди, като си предпочел да изведеш предложеното до някаква необорима истина, която и сама е приета за напълно валидна поради убедителни доказателства, за които тя си служи с обяснения с най-дълбок смисъл и утвърждава това, което е намислено, а смятаното в тези

[1] Византийският император Роман Лакапин. [2] Има се пред вид внучката на Роман Лакапин Мария, която била омъжена за българския цар Петър (927—969) [3] Не е известно точно кога е било написано писмото на Арета до Григорий. [4] Не се знае какво духовно звание е имал Стефан, когато Григорий е бил архиепископ на Одрин. От съдържанието на писмото личи, че Стефан е избягал при българите по всяка вероятност през 914 или 923 г., тъй като през тези две години Одрин е бил превземан от българите. Вж. *Златарски*, История, I, 2, стр. 378—380; 439—440.

καὶ τό γε κρεῖττον ἐν τούτοις ἀναντιρρήτως νομιζόμενον οὐκ ἐξ οἰκείας λαμβάνων εὑρέσεως, ἐκ δὲ τῶν Πέτρῳ ἱερομάρτυρι πεπονημένων κανονικῶν ἐπιστολῶν προάγων, ὡς ἔοικεν, εἰς ἀξιόπιστον τὸ σοὶ πρεσβευόμενον. τὰ δὲ ἦν Πέτρος τῶν ἀποστόλων ὁ πρόκριτος καί Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, καὶ δὴ καὶ αὐτὸς ὁ θεάνθρωπος ἡμῶν Κύριος καὶ Σωτὴρ ἀπὸ τῶν αὐτοῖς πεπραγματευμένων τὸ ἀμώμητον δήπου καὶ τῇ μετὰ χεῖρας περιστάσει ὁρίζοντες, ἐπεὶ καὶ αὐτοὶ φυγαδείᾳ τὸ κινδυνῶδες τοῦ καιροῦ ὑπεκκλίνοντες οὐδεμιᾶς ἐνοχῆς διὰ ταῦτα ἠξίωνται. ἀλλὰ γὰρ σκοπεῖν ἀξιάγαστον, ὡς οὐκ ἡ τοῦ πάθους ὁμοιότης κοινωνοὺς ἀναδείκνυσι καὶ τοὺς πάσχοντας τοὺς πρὸς οὓς ἀναφέρειν ὑμῖν ἡ σπουδὴ τὸν βέλτιστον Στέφανον, εἰ μὴ καὶ πολλῷ τῷ μέσῳ τοῦτον διαστελλόμενον ἐνθεωρεῖν ἐστι τῇ προκειμένῃ παραβολῇ, Πέτρος ὑπ᾽ ἀγγέλου τοῦ Θεοῦ πρὸς τὴν φυγὴν παρορμώμενός τε καὶ συνεργούμενος, δι᾽ οὗ ἡ περιτομὴ τὸ εὐαγγέλιον ὑποδέξεται, Παῦλος δὲ σαργάνῃ χρησάμενος καθιμασθῆναι τοῦ τείχους, ἐφ᾽ ᾧτε διαφύγοι τὸν ἀπολέσαι ζητοῦντα, καὶ αὖθις ὑπὸ τῶν ἀσιάρχων ἀποκρυβῆναι ἠνέσχετο, πρὸς τοῦτο Θεοῦ συναιρουμένου τοῖς τοῦτο πραγματευσαμένοις πιστοῖς, ὡς ἂν δι᾽ αὐτοῦ τοῖς ἔθνεσι διαδοθείη τὸ σωτήριον μάθημα· ὁ δὲ Σωτὴρ ἡμῶν Θεὸς ἐκ σπαργάνων εἰς Αἴγυπτον φυγαδεύεται, καὶ οὐ μόνον ἵνα τὰ βδελύγματα τῶν Αἰγυπτίων τῇ τούτου παρουσίᾳ κατασεισθῇ, ἀλλὰ καὶ τῷ μήπω καιρὸν εἶναι Ἡρώδην τῇ χριστοκτονίᾳ κατακριθῆναι. Καὶ οὗτοι μὲν οὕτως προβάντες οὐκ ἤδη ἀνοίας ὑπεύθυνοι, ἀλλὰ καὶ δόξης οὐ μὲν οὖν ὅσης ἐρεῖν ὑπό γε πράγμασι θείοις τυγχάνουσιν· οὐ γὰρ καὶ ὅρκῳ ἐγγράφῳ τῷ μὴ ἀποδρᾶναι κατησφαλισμένοι μὴ πρὸς ἕτερον ἀποκλῖναι ὅλου βίου δεσπότην, ὡς οὗτος αἰσχρῶς καὶ ἀναξίως ἀρχιερέων Θεοῦ, εἰ τὰ μικρὰ τῶν ὅρκων φροντίσαντες τῆς κατ᾽ αὐτὸν παλιντροπίας γεγόνασι. πῶς οὖν Στέφανον τούτοις συνεξετάζειν ἐξ ὁμοιότητος μόνης τῆς περιπετείας οὐ τολμηρὸν καὶ οὐδὲ πόρρω τοῦ θεοχόλωτος ὁ οὕτω φρονῶν κρίνεσθαι, ὡς εἴ τις καὶ τοὺς σταυρῷ διὰ ἀσέλγειαν ἐπιτετιμημένους μανιωδῶς τῷ Σωτῆρι Χριστῷ παραβάλλει καὶ Σίμωνα τὸν μάγον ἐγκλήματος ἀπολύει εἰς μίμησιν τῆς τοῦ Θεοῦ ἀναλήψεως ἢ καὶ τῆς Ἡλίου τοῦ Θεσβίτου, ὑφ᾽ ἧς συντριβεὶς ὁ κάκιστα ἀπολούμενος τὸν βίον κατέστρεψεν;

неща за напълно неопровержимо ти вземаш не от своята собствена мисъл, но го извеждаш от написаните от свещеномъченик Петър канонически послания вероятно, за да бъде достойно за вярване това, за което ти се застъпваш. Но това бяха Петър, избраният между апостолите, и Павел, избраният съсъд[1], а и сам богочовекът нашият господ и спасител, които съобразно със съществуващите обстоятелства определяха кое от извършените от тях дела е наистина безупречно, и затова те, макар и да са избягвали опасности в даден момент чрез бягство, не подлежат на никакво обвинение заради това. Впрочем твърде чудно изглежда, че еднаквостта на страданието не прави страдащите и съобщници, към които ти се стараеш да издигнеш и прекрасния Стефан, като не съвсем безпристрастно разсъждаваш за него при това сравнение. Така например Петър бил подпомогнат и подтикнат към бягството от ангел божи, та чрез него обрязаните да приемат евангелието, а Павел си послужил с кош[2] и се спуснал от стената, за да избяга от оногова, който искал да го погуби. След това се съгласил да бъде укрит от преследването на жреците и бог помогнал за това чрез съдействуващите в това вярващи, за да може да се предаде чрез него спасителното учение на езичниците. А нашият спасител и бог още в пелени беше прогонен в Египет, и то не само чрез неговото присъствие да се премахнат езическите мерзости на египтяните, но и да не се даде възможност Ирод да бъде осъден за погубването на Христа. И те всичките като постъпили така, не само не са обвинени в безумие, но и получават неизречима слава за божествените си дела. Защото, без да бъдат обвързани чрез писмена клетва да не бягат и да не минават през целия си живот към друг господар, ако и да пренебрегнаха клетвите, не проявиха измяна към него, както срамно и недостойно стори това този измежду божиите архиереи. И тъй, как да не е дръзко само поради подобие на случката Стефан да се сравнява с тези? Също нали няма да е далече от божия гняв и онзи, който сравнява разпънатите на кръст за безпътство със спасителя Христа, а освобождава Симон магесника[3] от обвинението, че е подражавал на възнесението на бога и на Илия Тесвитски[4], — който (Симон), сломен от това, умря, за да погине по най-жалък начин. Впрочем целите не се съгласуват със средствата помежду

[1] Деяния, 9, 15. [2] Деяния, 9, 25. [3] Деяния, 8, 9. [4] Царства IV, 11.

ἀλλὰ γὰρ τῷ μὴ καταλλήλως προσνέμειν ταῖς ἀφορμαῖς καὶ τὰ τέλη, ἀλλὰ βιάζεσθαι τοῖς τέλεσι καὶ τὰς ἀφορμὰς ὑποκλίνειν ὁρᾶς ὡς νομοθετοῦντός ἐστι καὶ βιαζομένου τὰ ἱερὰ γράμματα, οὐ πρὸς τὸν ἐνόντα σκοπὸν ἀπευθύνειν τὸν νοῦν τῷ συντάγματι. Πῶς γὰρ οὗτος ἐνάμιλλος τούτοις ὁ δείματι τοῦ φωραθῆναι, ὡς ἔφθημεν εἰρηκότες, ἀρρίχῳ ἑαυτὸν ἀφανίσας τοῦ μὴ τῆς παραβάσεως τίσαι δίκην, ἣν φωραθεὶς ὕστερον ἀνέτλη τῆς γενειάδος αἰσχρᾷ δῃωθεὶς ἀποτίλσει καὶ ποδοκάκαις τοὺς πόδας περιβληθείς, ἐξὸν αὐτῷ μὴ τούτοις ὑποβληθῆναι, εἰ κατ᾿ Εὐθύμιον τὸν τοῦ ῾Ρουσίου διεγένετο ἀρχιερέα, εἰς μηδὲν τῶν προταθέντων ὑπὸ Βουλγάρων ὑπείξαντα, ἀλλ᾿ εὐσταθῶς ἄγαν τὰς ἀπειλὰς ὑπενεγκόντα, ἀφ᾿ οὗ καὶ θαυμάσιος καὶ ζηλωτὸς Βουλγάροις καὶ ῾Ρωμαίοις εἰσέτι νῦν διατελῶν ἐμακαρίζετο; ἵνα δὲ τῇ φυγῇ σωτηρίαν Στέφανος ἑτέροις οὐχ ἑαυτῷ διοικήσηται, ἤπερ οἷς παρισοῦν αὐτὸν ἐκθυμότατα κρίνετε τούτοις ἐναθλεῖν, εἵλετο· ἀλλ᾿ ἔστιν οὐκ ἄλλο οὐδὲν ἢ τὸ δυσμαχώτατον συγκροῦσαι τὰ φονικῶς ἑαυτοῖς ἐφορμῶντα ῾Ρωμαίων τε καὶ Βουλγάρων ἔθνη· ὃ καὶ δυστυχῶς ποιοῦν ἐκτετέλεσται διαστασιαθέντων ἐντεῦθεν μανικώτερον Βουλγάρων τῇ τῶν ὅρκων τούτου παρασπονδήσει ἅτε ἀρχιερέως Θεοῦ οὕτω διαγενομένου, τῶν τέως χρηστοτέραις ἐλπίσι τοῦ φιλίως συμβῆναι συγκροτουμένων καὶ τέλεον τὰ εὐμενέστερα ἀπεγνωκότων. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετὰ τὴν τῆς εἰρήνης ἐπαγγελίαν ἐπὶ τοῖς πρὸς τὴν ἑαυτῶν ἀνασωζομένοις αἰχμαλώτοις, ὅσα καὶ οἷα πεπονήρευται οὐκ ἄκαιρον ἐπισκέψασθαι, ὡς ἂν ᾖ διὰ πάντων τὸ ἐν ἅπασι καταφανὲς πάντολμον καὶ αὐθεκάστως πανοῦργον. ᾿Αλλ᾿ ἴσως ἀντεφορμήσεις ἡμῖν ὁ τὰ πάντα πραῢς καὶ μειλίχιος, καλὰ μέν εἶναι ταῦτα φάσκων καὶ ἀποδοχῆς ἄξια, καὶ ἐκ μετεώρων δὴ τῶν πραγμάτων μὴ ἂν αὐτὸν ἀποκεκλεῖσθαι τῆς μεθ᾿ ἡμῶν πρὸς τὴν πνευματικὴν θυσίαν προσλήψεως. πρὸς ὃ τοῦτο ἐροῦμεν ἑτοίμως, ὡς ἐπ᾿ ἐκείνοις ἰσχὺν ἔσχηκεν ἀδαμαντίνην, ὦ χρηστέ, τὸ σοφὸν διαβούλιον τοῦτο, ἐφ᾿ οἷς οὐδείς τις ἔτι τῆς κατακρίσεως τοῦ αἰτιαθέντος παραθιγγάνων κατείληπται, οὐδὲ δῆμος ὅλος ἱερωμένων καὶ τοῦτο νεοπαγῶν πρὸς εὐσέβειαν καὶ ἐπὶ μικροῖς καὶ τοῖς τυχοῦσι τὸ σκανδαλίζεσθαι προχειρότατος καὶ ἀφ᾿ ἡμῶν ἐκδεχόμενος τὸ τὰ θεῖα ῥυθμίζεσθαι τῆς τούτου κοινωνίας ἀπέρρηξε στάδιον. ἢ φής, πρὶν ἀπ᾿ ἐκείνων προσλαβεῖν τὸ ἐνδόσιμον, εἴτε σὺν λόγῳ εἴτε καὶ μή, τὰ τῆς πρὸς αὐτὸν διαστάσεως ἐνεργὰ τούτοις νενόμισται, ἕως ἂν κατὰ τὸ ἄμεινον ταῦτα διαιτηθείη, ἡμεῖς δὲ φθάνομεν ἐπιεικείᾳ δῆθεν τὴν τῶν αἰτιαμάτων διάγνωσιν,

си, но трябва да се прави усилие средствата да бъдат подчинени на целите. Ти виждаш, че е дълг на законодателствуващия и на изпълняващия свещеното писание да не направлява мисълта си към определена цел чрез сравняване. Защото как би могъл да бъде равен на тях този[1], който от страх да не бъде заловен, както вече казахме, се скрил в кошница, за да не понесе наказание за постъпката си, което, след като беше заловен по-късно, той понесе, като позорно му бе оскубана брадата и краката му бяха оковани във вериги? Той нямаше да бъде подложен на такива унизителни наказания, ако беше постъпил като Евтимий[2], архиерей на Русион[3], който в нищо не отстъпил в това, което му заповядвали българите,но много твърдо понесъл заплахите, за което и сега още след смъртта си се облажава у българите и ромеите като достоен за удивление и подражание. Нека допуснем, че Стефан е предпочел чрез бягството си да осигури спасение на другите, а не за себе си, отколкото твърде дръзко да смятате, че той е равен на тях в изпълнението на подобни дела. Но това в същност не беше нищо друго освен да сблъска най-отчаяно устремените убийствено едни срещу други ромейски и български народ. А това нещо за нещастие е извършено, след което българите изпаднаха още по-безумно във вражда вследствие неспазването на клетвите от негова страна[4], понеже тъй постъпил един архиерей божи, макар да били обхванати до това време от твърде добри надежди за мирно споразумяване, и най-сетне се отчаяли от по-доброто. Но не само това: не е излишно да се вземе пред вид и това, колко зле бе постъпено с пленниците, които след възвестяването на мира се завърнаха в земята си, та чрез всички тия неща да стане ясно във всяко отношение (неговата) голяма дързост и грубо злодеяние. Но може би ти — който във всичко си кротък и благ — ще ни възразиш, като кажеш, че това е хубаво и достойно за похвала, и че не трябва поради несигурни неща той да бъде лишаван от общуване заедно с нас в духовното жертвоприношение. Срещу това ние веднага ще кажем, че това мъдро решение, о добри, е имало несъкрушима сила спрямо ония, до които още никой

[1] Става дума за споменатия по-горе Стефан. [2] *Шестаков*, пос. съч., стр. 98, предполага, че Евтимий бил пратеник на патриарх Николай, за да преговаря с българите за сключване на мир. Евтимий вероятно бил пратеник на Византия при българите през 921 г. [3] Русион — дн. Кешан в Източна Тракия. [4] Според *Шестаков*, пос. съч., стр. 97, 98 при заемането на Одрин от българите през 923 г. бил пленен и Стефан. Както личи от писмото, той е дал писмена клетва на българите. След това обаче Стефан нарушил клетвата, поради което българите се отказали от мирното уреждане на спорните въпроси между България и Византия.

ἥτις σκανδάλου αἴτιον ὑπάρξει δήμῳ τοσούτῳ πιστῶν, οὐ τῷ τοῖς ἀψαύστοις μόνῳ προσλιπαροῦντι Θεῷ, ἀλλ᾽ ἤδη καὶ τῷ λοιπῷ τῆς ἐκκλησίας πληρώματι; ἀλλ᾽ ὅσος ὁ μῶμος καὶ οὐδὲ τυχὸν τὸ παράπαν ἀκίνδυνος, σκοπεῖν χρή. Πλὴν εἴ τις ἄλλος τοῦ καὶ ἕνα σκανδαλίζοντος ὑπέχειν ἱκανὸς τὸ ζημίωμα, οὐδεὶς φθόνος. ἐμοὶ γοῦν οὐκ ἀνεκτόν, ὅτι μηδὲ ἐν ὅροις ὑπείληφα τὸ κακὸν ἡσυχάσειν, ἀλλ᾽ ὑπερχεθῆναι τῶν ἑαυτοῦ τόπων καὶ ὃ μὴ εἴη, Κύριε τοῦ ἐλέους, δευτέρων ὑπάρξειν δυστυχεστάτων πραγμάτων ὑπόθεσιν ἐκ τοῦ καταγινώσκειν ἡμῶν τῆς περὶ τὰ θεῖα ὀλιγωρίας ἀνασοβουμένης ἀκάθεκτα. ἀλλὰ γοῦν μικρῷ ἔτι τούτῳ λόγῳ ποθεῖ συνεγελασθῆναι ἡμῶν καλή γε ταύτῃ σπουδὴ καὶ ἐπαινουμένη. ἀλλὰ ἀφαιρούμενος Βουλγάρων τὸ κύριον ἔγγραφον καὶ ἐπιδιδοὺς τῇ καθ᾽ ἡμᾶς ἐκκλησίᾳ, ἕως δ᾽ ἂν μὴ τοῦτ᾽ ᾖ, ᾠόν, τὸ τοῦ λόγου, τίλλειν ἐπιχειρεῖς. οὐδὲ γὰρ ὁ θειότατος ἡμῶν δεσπότης καὶ βασιλεὺς κύριος Ῥωμανὸς ἤνυσέ τι τῶν καταθυμίων αὐτῷ, ἐξ ὧν τὰ ἐξ ἀβουλίας ἡμῶν ἔγγραφα παρέσχειν ἡμῖν, καίτοι γε οὐδενὶ κατησφαλισμένα ὅρκῳ, — ὅσον δὲ τὸ ἁπλῶς λόγῳ τι ὑπισχνεῖσθαι τοῦ μετὰ σκέψεως εἰς ἀθέτησιν ἀσθενέστερον —, οὐκ οἶμαι ἀγνοεῖν οὐδὲ τὸν τυχόντα, ὡς οὐδὲ ἥττων, εἰ μὴ καὶ μᾶλλον ὁ κίνδυνος τούτου παρομαρτεῖ τῷ τὰς ἐνόρκους πίστεις παρὰ φαῦλον τιθέντι καὶ τῷ μηδενὶ παραρριπτεῖν ἴσῳ εὐεμπτώτως ἄγαν ἐνολισθαίνοντι (pp. 99—101).

не е достигал в осъждането на обвинения, нито един цял народ от осветени и при това новоприсадени към благочестие, напълно е готов да изпадне в съблазън поради малки и случайни неща и да получи от нас уреждане на божествените дела, не е прекъснал връзката на общението с него. Или казваш, още преди да получиш позволение от тях — било с основание или не, че обвиненията против него се смятат от тях за силни, докато тези неща не се уредят подобре. А ние именно поради благосклонност изпреварваме определението на обвиненията, което ще стане причина за съблазън на толкова голям брой вярващи, не само на такива, които чрез недосегаемите (тайнства) постоянно умоляват бога, но и на останалото църковно множество. Но трябва да се обмисли колко голямо е безчестието и колко може би изобщо не е безопасно. Впрочем позволено е всеки да подлежи на наказание, ако е подложил на съблазън дори само един човек. Впрочем за мен е непоносимо, че аз допуснах злото да не се задържи в границите, но след като премине своето място, и — дано това не стане, господи милостиви! — ще стане основа за по-нататъшни още по-големи нещастия, понеже ни обвиняват в опасно пренебрежение към божествените неотменими дела. Но с това малко слово той желае да бъде осмяно по такъв начин нашето хубаво и похвално желание. Но като отнемеш от българите официално приписваното им обвинение и го предаваш на нашата църква — дано това не стане! — ти според поговорката се опитваш да бръснеш яйце. Защото дори и пребожественият наш господар и император господин Роман не извърши нищо от приятните му неща, след като ни даде писмено обещание поради нашата безпомощност, ако и тези писания да не бяха потвърдени с никаква клетва. А колко по-слабо е просто с думи да обещае нещо с намерение да не се изпълни. Смятам, че това знае всеки, не по-малко, ако не и повече това, че опасността от това съпровожда онзи, който пренебрегва своите клетвени задължения и всеки, който е твърде склонен да се подхлъзва и да се подхвърли на подобно нещо.

3. Scholia

1. *Ὅτι Θηβαΐα Βοιώτιδι καὶ Νέρωνος καὶ Οὐεσπασιανοῦ φαύλως ᾠκοῦντο μόνης τῆς Καδμείας συνισταμένης ὥσπερ καὶ νῦν· εἰ μὴ καὶ ταύτην Βούλγαροι κατεστρέψαντο* (*Ν. Βέης*, p. 337).

2. *Τοῦτο πραγματικῶς νῦν ὁρᾶται ἐπὶ Συμεῶνι τῷ Βουλγάρῳ καὶ τῷ κακοδαιμόνως Ῥωμαίων προεστῶτι* (*Ν. Βέης*, p. 338).

Схолии на Арета Кесарийски

1. Беотийска Тива и при Нерон[1], и при Веспасиан[2] слабо се населявала, като само Кадмея[3] се държала, както и сега, ако българите не бяха разрушили и нея.

2. Това наистина сега се вижда при Симеон Българина[4] и при този[5], който злощастно управлява ромеите.

---

[1] Римски император (54—68). [2] Римски император (69—79). [3] Така са наричали крепостта, върху която е била изградена древната Тива. [4] Българският цар Симеон. [5] Византийският император Роман I Лакапин.

VIII. ЖИТИЕ НА МАРИЯ НОВА

Мария, жена на един византийски военачалник, който воювал срещу българите, била провъзгласена за светица след смъртта ѝ (902 г.) и почитана под името Мария Нова.

Житието на Мария Нова е извънредно ценен извор на българската история за периода от края на IX до първата четвърт на X в. В него се дават сведения за войните, които Симеон водил с Византия и по-специално за завладяването на гр. Виза в Тракия от българите. От това житие можем да извадим заключение за действията на Симеон във превзетите от него византийски крепости. В него се съдържат сведения и за времето непосредствено след смъртта на Симеон и за сключването на мирния договор между България и Византия при цар Петър (927 г.).

Данните от житието са подробни и достоверни. Те са ценно допълнение към писмата на патриарх Николай Мистик и Роман Лакапин.

РЪКОПИСИ: V=Cod. Vatic. gr. 800 (XIV—XV s.). — L.=Cod. Laurae S. Athanasii Athon. 1368 [K. 81], (XIV s.).

ИЗДАНИЯ: *M. Gedeon, Βυζαντινὸν Ἑορτολόγιον*, Konstantinopolis, 1899, pp. 296–301. Една част от житието, която се отнася за българската история, е издал Г. Баласчев, Новыя данныя для истории грекоболгарских войн при Симеоне, ИРАИК, IV, вып. 3 (1899), стр. 189—220, заедно с руски превод. — Acta Sanctorum Novembris IV, Bruxellis, 1925, col. 688—705. Преводът е направен по последното издание.

КНИЖНИНА: *Хр. Лопарев*, Византийския святых VIII—IX, в. ВВр, XIX (1912), стр. 120–122. — *Златарски*, История, I, 2, стр. 452—453, 510—521. — *F. Dvornik*, Quelques données sur les Slaves extraites du tome IV Novembris des „Acta Sanctorum", Byzantinoslavica, I (1929), pp. 39—43. — *Moravcsik*, Byzantinoturcica, I. p. 570.

VITA MARIAE IUNIORIS

1. Symeon contra Romanos exercitum ducit

5. *Τί τὸ μετὰ τοῦτο; Δεύτερον ἔσχεν υἱὸν ἡ Μαρία, καὶ τοῦτον Βαρδάνην ὠνόμασεν. εἶτα τὴν ἐπὶ Βιζύης ἐστείλατο, καὶ ἡ αἰτία τῆς μετοικίας τοιαύτη ἦν. Μετὰ τὸν αὐτοκράτορα Βασίλειον Λέων ὁ Σοφὸς καὶ Ἀλέξανδρος οἱ τούτου παῖδες τὴν ἀρχὴν διεδέξαντο· ὁ δὲ τῶν Βουλγάρων ἄρχων Συμεὼν χριστιανοῦ μὲν φέρων προσηγορίαν, ἀνὴρ δὲ χρηματίζων αἱμάτων τέλειος, ἐπιστρατεύει τηνικαῦτα Ῥωμαίοις καὶ πολὺν φόνον ἐργάζεται. Τότε*

ЖИТИЕ НА МАРИЯ НОВА

1. Поход на Симеон срещу ромеите

5. Какво стана след това? Мария имала втори син и го нарекла Вардан. След това тя се отправила към Виза и причината за преселването била тая: след император Василий[1] неговите синове Лъв Мъдри[2] и Александър[3] наследили властта. А Симеон[4], владетелят на българите, който се наричал християнин, мъж извънредно кръвожаден, потеглил тогава на поход срещу ромеите и извършил голямо клане. Прочее по това време-

[1] Византийският император Василий I Македонец (867—886). [2] Византийският император Лъв VI Мъдри. [3] Византийският император Александър (912–913) бил настойник на малолетния Константин VII Багренородни (912—959). [4] Българският цар Симеон.

τοίνυν ὁ τῆς Μαρίας ἀνὴρ Νικηφόρος ἀριστεύει τοῖς Βουλγάροις μαχόμενος καὶ ψήφῳ τῶν κρατούντων εἰς τὴν τῆς Βιζύης τοῦρμαν ἐκπέμπεται, καὶ δὴ τὴν πόλιν ταύτην σὺν γυναικὶ καὶ τέκνοις καταλαμβάνει (pp. 693E—694A).

Никифор, мъжът на Мария, сражавайки се с българите[1], се отличил и по решение на властвуващите бил изпратен в гарнизона[2] във Виза и така заедно с жена си и децата си пристигнал в този град. ———

2. *Monacha quaedam ex Bulgaria in Byzam pervenit*

14. *Γυνὴ δέ τις δαίμονα ἔχουσα καὶ ἐν τῇ τῆς ἁγίας προσαχθεῖσα σορῷ, ἐξ αὐτῆς τὴν ἀπαλλαγὴν τοῦ κακῶς αὐτὴν κινοῦντος πνεύματος εὕρατο. Οἷα δὲ καὶ τὰ τοῦ ἱερέως ἐκείνου, ὃς καὶ ἁλύσεσι καὶ πέδαις μόλις κατείχετο ὑπὸ τοῦ δαίμονος ἐλαυνόμενος, ἐνταῦθα δὲ φοιτήσας τοῦ ἐνοχλοῦντος ἀπήλλακτο. Τὸ δ᾽ αὐτὸ καὶ μονάζουσα ὕστερον εὕρατο, ἣν ἐκ Βουλγαρίας ὑπὸ τοῦ κινοῦντος ἀχθεῖσαν πνεύματος, ἐλευθέραν τοῦ κατέχοντος ἡ ἁγία ἐξέπεμπε* (p. 698B—C).

2. *Монахиня от България отива в град Виза*

14. А някаква жена, обхваната от зъл дух и доведена при ковчега на светицата, получила избавление чрез нея от бяса, който зле я измъчвал. Така също и онзи свещеник, който, обхванат от демона, едва бил одържан със синджири и окови, като отишъл там, се освободил от злия дух, който го тормозел. Същото по-късно станало и с монахинята, измъчвана от зъл дух, която била доведена от България. И нея светицата изпратила освободена от обхваналия я зъл дух[3].

3. *Symeon Byzam expugnat*

23. *Δίκαιον δὲ καὶ ταῦτα προσθεῖναι τοῖς εἰρημένοις· Συμεὼν ὁ ἄρχων Βουλγαρίας, ἀνὴρ θηριώδης, τῇ Ῥωμαίων ἐπιστρατεύσας, ἅπαν τὸ τῆς Θρᾴκης μέρος κατελῄσατο, μέχρις αὐτῶν τῶν τῆς Κωνσταντινουπόλεως τειχέων πάντα καταναλώσας καὶ τὰς πλείους τῶν πόλεων κατασκάψας. Ἔνθεν τοι καὶ οἱ τὴν Βιζύην οἰκοῦντες, μὴ δυνάμενοι πλέον ἐν ταύτῃ μένειν πενταετίαν ὅλην πολιορκούμενοι, καιροῦ τυχόντες ἐπιτηδείου, τὴν πόλιν καταλιπόντες ᾤχοντο, πυρὶ τὰς οἰκίας πάσας κατατεφρώσαντες. Αἰχμάλωτος οὖν τις διαδρὰς τὰς τῶν πολεμίων χεῖρας δρόμῳ πολλῷ χρησάμενος, ἑσπέρας ἤδη τὴν Βιζύην ἔφθασε· γυμνὴν δέ πᾶσαν ἀνθρώπων καὶ οἰκημάτων εὑρών, εἰς τὸν ναὸν τῆς μακαρίας πρὸς τὸ διαβιβάσαι τὴν νύκτα κατέφυγε. Μήπω δ᾽εἰς ὕπνον τραπείς, γοερῶν φωνῶν τῆς σοροῦ τῆς ἁγίας ἐξερχομένων ἀκήκοε· σχετλιασμοὶ δὲ ἦσαν καὶ οἰμωγαί· „Καὶ τίνος (ἔλεγε) χάριν οἱ τὴν πόλιν οἰκοῦντες, χριστιανοὶ ὄντες, αὐτὴν καταλείψαντες ἔφυγον, ἐμοῦ καὶ ταῦτα ἐνθαδὶ κατοικούσης; Εἰ δὲ οὕτω ποιῆσαι ἔμελλον, διὰ τί μὴ*

3. *Симеон превзема град Виза*

23. Но справедливо е и това да се прибави към казаното. Симеон, владетелят на България, мъж свиреп, нахлул в земята на ромеите и разграбил цяла Тракия, като всичко опленил и сринал повечето от градовете чак до самите стени на Цариград. Поради това и жителите на Виза, като не можели повече да останат в нея, понеже цели пет години били обсаждани[4], намирайки удобен момент, изоставили града[5], изгорили всички къщи и заминали. Някакъв пленник, като избягал от ръцете на неприятелите, след дълъг път чак вечерта достигнал Виза. Като я намерил без хора и къщи, прибягнал в храма на блажената[6], за да прекара там нощта. Още не бил заспал, когато чул печални звукове, които излизали от ковчега на светицата, това били стенания и ридания: „Заради какво — говорел гласът — жителите на града, ако и да са християни, избягаха, като го напуснаха, пък аз и сега оставам тука? Ако са имали намерение да направят така, защо и мене не

[1] Вероятно тук се говори за сражения между българи и византийци през войната 894 -896 г. [2] Турмата (*τοῦρμα*) била голямо подделение на темата. Във всяка тема имало по няколко турми (2 или 3) от по 5 хиляди души. Турмата се командувала от турмарх (*τούρμαρχος*), който след стратега на темата бил найвисшият командир. Вж. *Ф. И. Успенский*, Военное устройство византийской империи. ИРАИК, VI, вып. 1 (1900), стр. 160. — *L. Bréhier*, Les institutions de l'Empire Byzantin, Paris, 1949, pp. 361—362. [3] В това сведение *F. Dvornik*, Quelque données sur les Slaves, p. 41, вижда съществуването на мирни периоди между два похода на Симеон срещу Византия. [4] На това място от текста се дава различно тълкуване. *Г. Баласчев*, Новые данныя для истории грекоболгарских войн при Симеоне, стр. 208—209, смята, че тук се говори за обсада. За разлика от него *Златарски*, История, I, 2, стр. 433 и сл., приема, че тук се касае не до обсада, а до нападения от страна на българите, които те вършели в продължение на пет години и от които жителите на Виза страдали. Срв. също *Dvornik*, Quelques données sur les Slaves..., p. 42. [5] Годината на напускането на гр. Виза от византийците и завземането ѝ от българите е спорна. Според *Баласчев*, Новые данныя... стр. 208—209, Виза паднала в ръцето на българите след 925 г. — *Златарски*, История, I, 2, стр. 432—434, смята, че това събитие се отнася към 922 г.; срв. също *Dvornik*, op. c., p. 42. [6] Сиреч в храма на св. Мария Нова.

καὶ ἐμὲ μεθ' ἑαυτῶν ἀνείλοντο, ἀλλ' ἐν τοῖς ἔθνεσί με κατέλειψαν;" Τούτοις ὁ ἄνθρωπος γενόμενος ἔμφοβος, διανυκτερεύσας εἰς τὴν Μήδειαν παρεγένετο καὶ τοῖς ἐκεῖσε πάντα διήγγειλε. Παρὼν οὖν ἐκεῖσε καὶ ὁ ἱερεὺς Νικήτας ὁ Κοννάκης ὀνομαζόμενος. ὃς παρ' ὅλην τὴν πολιορκίαν ἐν τῷ ναῷ τῆς ἁγίας τὰ τῆς λειτουργίας ἦν ἐκτελῶν, ἄρτι δὲ μετὰ τῶν ἐποίκων καὶ αὐτὸς ἐξελθών, κατέλαβεν εἰς τὴν Μήδειαν· καὶ ἀκούων ταῦτα παρὰ τοῦ αἰχμαλώτου, εἰς μνήμην ἦλθε τῶν ἐπιτελουμένων παρὰ τῆς μακαρίας θαυμάτων καὶ οὐκέτι στέγειν ἠδύνατο μὴ τὴν Βιζύην καταλαβεῖν καὶ εἰς προσκύνησιν τῆς ἁγίας ἐλθεῖν, καὶ ταῦτα πολεμίων ὄντων ἐντός· ὁ γὰρ λεχθεὶς Συμεὼν ἐν τούτῳ καταλαβὼν τὴν Βιζύην καὶ κενὴν ταύτην ἀνθρώπων καὶ οἰκημάτων εὑρών, τὰ ἀπὸ τοῦ πυρὸς ἐναπολειφθέντα τείχη ἐκ θεμελίων ἀνατραπῆναι προστάττει καὶ τὴν γῆν ἀροτριασθῆναι καὶ σπαρεῖναι, ὃ δὴ καὶ γέγονε, τοῦ καιροῦ εἰς τοῦτο ἁρμοδίως ἔχοντος.

στελέχεσι προσδεθέντος, καὶ εἰς δύο διαμερισθέντος τμήματα. καὶ σὲ γοῦν οὐκ οἶμαι τὴν σὴν ἐπαναζεῦξαι πατρίδα, εἴ γε τὴν Ῥωμαϊκὴν πανστρατιὰν κατὰ σοῦ χωρεῖν ἀναγκάσειας, ἀλλ᾿ αὐτόθι διαφθαρήσεσθαι πανσυδεί, ὡς μηδὲ πυρφόρον ἐς Σκυθίαν ἀφικέσθαι, τὰς κατασχούσας ὑμᾶς ἀπευκταίους ἀπαγγελοῦντα τύχας." ὁ δὲ Σφενδοσλάβος, ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσι σχετλιάσας, τῇ τε βαρβαρικῇ μανίᾳ καὶ ἀπονοίᾳ παραφερόμενος, ἀντέλεξε τοιαῦτα· „οὐδεμίαν ἀνάγκην τὸν αὐτοκράτορα Ῥωμαίων ὡς ἡμᾶς ἀφικέσθαι ὁρῶ κατεπείγουσαν· διὸ μὴ κάμῃ, μέχρι τῆσδε τῆς γῆς ἀφικόμενος· αὐτοὶ γὰρ ὅσον οὔπω πρὸ τῶν τοῦ Βυζαντίου πυλῶν πηξόμεθα τὰς σκηνάς, καὶ καρτερὸν χάρακα ταύτῃ περιβαλοῦμεν, ἐξιόντα τε τοῦτον, εἴ γε καὶ καρτερήσει πρὸς τοσούτων πόνων διαγωνίσασθαι, γενναίως ὑποδεξόμεθα, διδάξομέν τε τοῖς ἔργοις αὐτοῖς, ὡς οὐ βάναυσοί τινες ἀποχειροβιῶτοι, ἀλλ᾿ αἱμάτων ἄνδρες τυγχάνομεν, τοῖς ὅπλοις τὸ δυσμενὲς καταγωνιζόμενοι· εἰ καὶ αὐτὸς ἐξ ἀγνοίας κατὰ τὰ σκιατραφοῦντα γύναια τὴν Ῥωσσικὴν ἡγεῖται ἀλκήν, καί, ὥς τινα νήπια ὑπομάζια μορμολυκείοις τισί, ταύταις ταῖς ἀπειλαῖς ἡμᾶς πειρᾶται δεδίττεσθαι."

ια'. Τούτων τῶν ἀπονενοημένων τοῦ ἐκεῖθεν λόγων ὁ βασιλεὺς διενηχηθείς, ἔγνω, μὴ διαμέλλειν, ἀλλὰ πάσῃ σπουδῇ τὰ ἐς τὸν πόλεμον ἐξαρτύεσθαι, ὡς ἂν προτερήσοι τὴν πρὸς ἐκεῖνον ἄφιξιν, ἐπιτειχίσοι τε τούτῳ τὴν κατὰ τῆς βασιλευούσης ἐπίθεσιν· εὐθὺς οὖν ἴλην γενναίων καὶ νεανικῶν ἀνδρῶν ἐκλεξάμενος, ἀθανάτους τε τούτους κατονομάζας, περὶ αὐτὸν εἶναι διεκελεύσατο. ἐντεῦθεν τὸν Μάγιστρον Βάρδαν, ᾧ Σκληρὸς ἡ ἐπίκλησις, ὁμαίμονα τῆς ἀποιχομένης Μαρίας, τῆς τοῦ τοιούτου βασιλέως συνεύνου, τυγχάνοντα, δραστήριον ἄνδρα καὶ τὴν ἀλκὴν γενναιότατον καὶ τὸν Πατρίκιον Πέτρον, τὸν πρὸς τοῦ αὐτοκράτορος Νικηφόρου στρατοπεδάρχην προχειρισθέντα διά τε τὴν προσοῦσαν αὐτῷ ἀρετήν, καὶ τὰ κατὰ τοὺς πολέμους ἀνδραγαθήματα (λέγεται γάρ ποτε Σκυθῶν τὴν Θρᾴκην καταδραμόντων, ἐπεὶ ἐξ ἀντιπάλου τὸν Πέτρον, καίτοι τομίαν ὄντα, μετὰ τοῦ συνεπομένου στίφους ξυνέβαινεν αὐτοῖς ἀντιτάττεσθαι, τὸν τῶν Σκυθῶν ἀγόν, πελώριον ἄνδρα, καὶ ἐς τὸ ἀσφαλὲς τεθωρακισμένον, παρὰ τὸ μεταίχμιον ἐξιππάσασθαι, κοντὸν ἐπιμήκη κραδαίνοντα, προσκαλεῖσθαί τε τὸν βεβουλημένον αὐτῷ ἀντιτάττεσθαι· τὸν δὲ Πέτρον, ἀλκῆς καὶ μένους παρ᾿ ὑπόνοιαν ὑποπλησθέντα, τὸν ἵππον τε σφοδρῶς κεντρίσαι τοῖς μύωψι, καὶ τὸ δόρυ κραταιῶς διαγκυλησάμενον, ἀμφοτέραις ὦσαι κατὰ τοῦ στέρνου τὸν Σκύθην· οὕτω δὲ γενέσθαι τὴν ἀντέρεισιν καρτεράν, ὡς ἀντιτορῆσαι, καὶ διαμπερὲς κατὰ τὸ μετάφρενον διαπτῆναι, μὴ ἀντισχόντα τὸν ἁλυσιδωτὸν θώρακα, ἀλλ᾿ ἄναυδον τὸν πελώριον ἐκεῖνον

на две. Мисля, че и ти не ще се завърнеш в отечеството си, ако принудиш цялата ромейска войска да излезе насреща ти, но ще загинеш тук с всичките си войници, та дори огненосец не ще иде в Скития, за да извести постигналата ви участ." Светослав, възмутен от този отговор и обхванат от варварска ярост и безумие, отвърнал следното: „Не виждам никаква необходимост, която да заставя ромейския самодържец да дойде при нас. Затова нека не се мори да идва чак до тази земя, защото ние скоро ще разпънем шатрите си пред вратите на Цариград и ще го обградим със здрав окоп, ще посрещнем храбро и самия император, ако излезе и се осмели да се бори срещу такива опасности. Ние ще го научим със самите си дела, че не сме никакви занаятчии, които с ръчен труд изкарват прехраната си, а мъже на кървавите битки, които с оръжие побеждават врага, въпреки че той поради незнание смята руската храброст за женска изнеженост и се опитва да ни плаши с такива закани, както с плашила плашат малки деца."

Императорът, като чул безумните му думи, решил да не се бави, но да се готви за война с всички сили, за да изпревари пристигането му и да му попречи да нападне столицата. Веднага си избрал дружина от храбри и млади мъже, които нарекъл безсмъртни[1], и им заповядал да бъдат винаги около него. След това повикал магистър Варда, по прякор Склир[2], брат на Мария, покойната съпруга на този император, деен мъж и прочут с храбростта си, а също и патриций Петър, назначен от император Никифор[3] за началник на стана поради своймствената му доблест и подвизите му срещу неприятелите. Разказват, че веднъж, когато скитите опустошавали Тракия, Петър, макар че бил скопец, излязъл като равностоен противник срещу тях със следващия го отред. Тогава вождът на скитите, огромен мъж, облечен с яка броня, пристигнал с коня си на полесражението и размахвайки дългото си копие, подканвал кой би желал да се бие с него. Петър, изпълнен с необикновена смелост и решителност, остро боднал коня си с шпорите, насочил копието си и го забил силно с двете си ръце в гърдите на скита. Ударът бил толкова силен, че копието пробило желязната ризница, която не могла да издържи, проникнало чак до гърба и великанът, безмълвен, се простря на земята.

[1] Елитен военен отред.

[2] Магистър Варда Склир, един от най-известните византийски военачалници по времето на Йоан Цимисхий.

[3] Император Никифор Фока.

προσαραχθῆναι τῇ γῇ· καὶ τούτῳ τῷ καινῷ καὶ ξένῳ θεάματι καταπλαγῆναί τε τοὺς Σκύθας, καὶ πρὸς φυγὴν ἀπιδεῖν). τούτοις τοῖς στρατηγοῖς παρήγγειλεν ὁ βασιλεύς, τὰς δυνάμεις ἀνειληφότας ἐπὶ τὴν ὅμορον καὶ ἀγχιτέρμονα τῆς Μυσίας διαβαίνειν· ἐκεῖ τε διαχειμάζειν, καὶ γυμνάζειν τὴν στρατιὰν καὶ τὸν χῶρον περιέπειν, ὡς μή τις εἴη τούτῳ λώβη ταῖς ἐκδρομαῖς τῶν Σκυθῶν· ἔς τε τὰς ἐπαύλεις καὶ τὰ ἤθη τῶν δυσμενῶν διγλώσσους ἄνδρας ἐκπέμπειν Σκυθικὸν ἠμπισχημένους ἱματισμόν, ὡς τὰ σφῶν διαβούλια γνοῖεν, καὶ βασιλεῖ ταῦτα κατάφωρα γίγνοιντο. τὴν τοιαύτην οὖν φάσιν πρὸς τοῦ βασιλέως εἰληφότες, τὴν Εὐρώπην καταλαμβάνουσι (pp. 105, 1—108, 17).

Това ново и странно зрелище поразило скитите и те започнали да мислят за бягство. На тези именно военачалници императорът заповядал да преминат заедно с войските си в пограничната и близка на Мизия област, там да прекарат зимата, като обучават войската и пазят страната да не пострада от нападенията на скитите; да изпращат в становете и в селищата на неприятелите мъже двуезични, облечени в скитска носия, за да разберат техните намерения и това да бъде донасяно на императора. Като получили от него тези нареждания, те пристигнали в Европейските области.

7. *Romani cum Scythis pugnant*

ιβ'. Ταυροσκύθαι δὲ τὴν τούτων ἐνωτισθέντες διάβασιν, ἀπόμοιραν τῆς σφετέρας στρατιᾶς διαιρέσαντες, Οὔννων τε καὶ Μυσῶν πλῆθος ταύτῃ προσεταιρίσαντες, κατὰ Ῥωμαίων χωρεῖν ἐκπεπόμφεσαν. ἄρτι δὲ τὴν τούτων ἐπήλυσιν ὁ Μάγιστρος Βάρδας αἰσθόμενος, καὶ ἄλλως γενναῖός τε καὶ ῥέκτης τυγχάνων ἀνήρ, τότε δὲ σφαδάζων θυμῷ καὶ ῥώμης ὁρμῇ, τοὺς ἀμφ' αὐτὸν λογάδας συνειληφώς, πρὸς τὴν τῶν ἐναντίων ἠπείγετο συμπλοκήν. καὶ δὲ Ἰωάννην τὸν Ἀλακᾶ εἰσκαλέσας, εἰς κατασκοπὴν ἀπέστειλεν, ἀθρῆσαί τε τοὺς Σκύθας, καὶ τὸ τοῦ πλήθους εἰκάσαι ποσόν, καὶ καθ' ὃν αὐλίζοιντο τόπον καὶ ὅ, τι πράττοιεν· πέμπειν τε τὴν ταχίστην ὡς αὐτόν, καὶ πάντα διαγγέλλειν, καὶ ἐκτάξαι τὴν στρατιὰν πρὸς τὸν πόλεμον. Ἰωάννης δέ, τοὺς ἑπομένους λογάδας ἀνειληφώς, κατὰ τάχος ἐπὶ τοὺς Σκύθας ἱππάσατο· τῇ δὲ ὑστεραίᾳ παρὰ τὸν Μάγιστρον στέλλει, ἐπισπεύδων τοῦτον ἱκέσθαι μετὰ τοῦ πλήθους· μὴ πόῤῥω γάρ, ἀλλ' ἐγγύθεν, τοὺς Σκύθας αὐλίζεσθαι. ὁ δέ, τῶν τοιούτων λόγων διακούσας, τριχῇ διατάξας τὴν φάλαγγα, τῇ μὲν ἐφέπεσθαι παρήγγειλε κατὰ μέτωπον, ταῖς δὲ κατὰ τοὺς ἐγκαρσίους προλοχίζειν δρυμοὺς τηνικαῦτα δὲ τῆς ἐνέδρας διεκθέειν, ὁπηνίκα τῆς σάλπιγγος, τὸ ἐνυάλιον ἐπηχούσης, διακούσαιεν. ταῦτα τοῖς λοχαγοῖς παρακελευσάμενος, κατὰ στόμα τοῖς Σκύθαις ἀντεπῄει, κραταιῶς διαγωνιζόμενος. ἐπλεονέκτει δὲ πλήθει τὸ στράτευμα τῶν ἐναντίων, ὑπὲρ τοὺς τρισμυρίους τελοῦν· οἱ γὰρ τῷ Μαγίστρῳ συνεφεπόμενοι, μετὰ τῶν λόχων, οὐ πλέονες τῶν μυρίων

7. *Сражение между византийци и руси*

Тавроскитите, като чули за тяхното преминаване, отделили една част от своята войска, присъединили към нея войска от хуни[1] и мизи и я изпратили срещу ромеите. Магистър Варда, който изобщо бил мъж храбър и решителен, щом научил за тяхното приближаване, обхванат от гняв и силен устрем, събрал около себе си храбри отреди и се впуснал в бой срещу противника. Повикал Йоан Алака и го изпратил на разузнаване — да види скитите, да узнае приблизително броя им, на кое място стануват и какво правят, да прати веднага хора при него да съобщят всичко, та да приготви и подреди войската за боя. Йоан, като взел поверените му отреди, бързо препуснал срещу скитите. На другия ден той изпратил при магистъра човек с поръка да дойде веднага заедно с войската, като казал, че скитите не са далече, стануват съвсем наблизо. Като чул тези думи, той разделил войската си на три: на първата част заповядал да вървят направо, а на другите две части да дебнат по страничните дъбрави. Те тогава да изскочат от засадата, когато чуят звука на бойната тръба. Като дал тези нареждания на войсковите началници, той се спуснал направо срещу скитите и смело започнал борбата. Неприятелската войска, на брой повече от тридесет хиляди души[2], превъзхождала по численост (ромеите); войниците на магистъра заедно с тия в засадата не били повече от десет хиляди души. В завързалия

[1] С хуни тук са означени маджарите. Срв. *G. Cedreni* Compendium, II, p. 384. — *Златарски*, История, I, 2, стр. 603. — *Moravcsik*, Byzantinoturcica, II, p. 235 [2] Според Скилица-Кедрин войската на Светослав броела *ὀκτακισχιλίους ἐπὶ τριάκοντα μυριάσι*, което обикновено се тълкува като 308 хиляди. Вж. *G. Cedreni* Compendium, II, p. 384, 16—17. Срв. *Златарски*, История, I, 2, стр. 604, който смята, че този брой е преувеличен или „погрешен при преписването" (пак там, стр. 604, бел. 1) и че най-правдоподобна е предадената от Лъв Дякон цифра. По-вероятно е обаче, че *μυριάσι* в текста на Кедрин не означава десет хиляди, а само хиляда. В такъв смисъл се среща думата *μυριάς* и в други автори. Така предаденият от Скилица-Кедрин брой следва да се изтълкува 38 000, което не се различава съществено от съобщението на Лъв Дякон.

ἐτύγχανον. τῆς δὲ συμπλοκῆς γενομένης παρ᾽ἀμφοτέρων, ἔπιπτον οἱ νεανικώτεροι. ἐνταῦθα δὴ λέγεται τῶν τινα Σκυθῶν, ἀλκῇ καὶ σώματος ὄγκῳ γαυρούμενον, τῆς ἀμφ᾽αὐτὸν ἀποκριθέντα φάλαγγος ἐξιππεῦσαί τε, καὶ τῷ Βάρδᾳ ἐπιδραμεῖν, καὶ ξίφει τοῦτον πλῆξαι κατὰ τῆς κόρυθος· κενὴν δὲ γενέσθαι τὴν τοῦ ξίφους καταφοράν, τοῦ ἀθέρος ἀναγναμφθέντος τῇ κυνῇ, καὶ ἀλλαχόσε τῇ ταύτης στεγανότητι περιολισθήσαντος· Κωνσταντῖνος δὲ ὁ πατρίκιος, σύναιμος τῷ Βάρδᾳ τελῶν, ἄρτι τῷ ἰούλῳ τὴν γένυν ἐπιχνοάζων, πελώριός τε πεφυκὼς τῷ σώματι, καὶ τὴν ἰσχὺν δυσεκβίαστος καὶ ἀκαταγώνιστος, τὸ ξίφος σπασάμενος ἵεται τὸν Σκύθην βαλεῖν· ὁ δέ, τὴν φορὰν αὐτοῦ ὑπειδόμενος, ἐκκλίνει τὴν πληγήν, κατ᾽ἰσχίον ὑπτιάσας τοῦ ἵππου. δέχεται δὲ ταύτην παρὰ τὸν αὐχένα ὁ ἵππος, ὃν διαμπερὲς ἀποτέμνεται· ὁ δὲ Σκύθης, ἅμα τῷ ἵππῳ κατενεχθείς, πρὸς τοῦ Κωνσταντίνου ἐναποσφάττεται.

ιγ'. Τῆς δὲ μάχης τῇδε κἀκεῖσε μετακλινομένης, καὶ συχνὰς καὶ ἀμφιταλάντους μεταβαλλούσης ῥοπὰς ἐφ᾽ἑκάτερα, τὸ ἐννάλιον ὁ Βάρδας ἐνηχεῖν ἐγκελεύεται, τά τε τύμπανα θαμινὰ παταγεῖν· τῆς δὲ φάλαγγος ἐκ τῶν λόχων ἐξαναστάσης κατὰ τὸ σύνθημα, καὶ κατὰ νώτου τῶν Σκυθῶν γενομένης, δέος τε αὐτοῖς εἰσῄει καὶ πρὸς φυγαδείαν ἀπέκλιναν. μήπω δὲ γεγενημένης λαμπρᾶς τῆς διώξεως, τῶν ἐπιφανῶν τις Σκυθῶν, μεγέθει σώματος καὶ ὅπλων λαμπρότητι πεφυκὼς τῶν ἄλλων ἀριπρεπής, κατὰ τὸ μεταίχμιον περιῄει, ἐπ᾽ἀλκὴν τοὺς ἑταίρους ἐπιῤῥωννύς. τοῦτον Βάρδας ὁ Σκληρὸς ἐξιππασάμενος παίει κατὰ τῆς κεφαλῆς, καὶ μέχρι τοῦ ζωστῆρος τὸ ξίφος διήλασε, μήτε τοῦ κράνους αὐτῷ ἐπαρκήσαντος, μήτε τοῦ θώρακος τὴν τῆς χειρὸς ἐπισχόντος ἰσχύν, ἢ τὴν τοῦ ξίφους τομήν. διχῇ δὲ τούτου διατμηθέντος καὶ προσαραχθέντος τῇ γῇ, Ῥωμαῖοι μὲν ὑφ᾽ἡδονῆς ἐπηλάλαξαν, καὶ πρὸς ἀλκὴν ἐπεῤῥώσθησαν· Σκύθαι δέ, τῷ καινῷ καὶ ἀλλοκότῳ τῆς πληγῆς ἀποδειλιάσαντες, σὺν οἰμωγῇ τὸν συνασπισμὸν διαλύσαντες, εἰς φυγαδείαν ἐτράποντο. οὓς ἐπισπόμενοι Ῥωμαῖοι μέχρι βαθείας ἑσπέρας ἀνῄρουν ἀνηλεῶς. κατὰ τοῦτον δὴ λέγεται τὸν ἀγῶνα πεντήκοντα καὶ πέντε Ῥωμαίων ἄνδρας τεθνάναι, τραυματίας δὲ γενέσθαι συχνούς, καὶ ἵππων κατακοντισθῆναι τοὺς πλέονας· Σκυθῶν τε ὑπὲρ τοὺς δισμυρίους διαφθαρῆναι. ἀλλ᾽ἡ μὲν πρὸς τοὺς Σκύθας γεγενημένη τότε Ῥωμαίων διαμάχη εἰς τοιοῦτον ἐτελεύτα τὸ τέλος. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ τὰς Ἀσίας δυνάμεις εἰς τὴν Εὐρώπην διὰ τοῦ Ἑλλησπόντου περαιοῦσθαι κατήπειγεν, ἐς τἀπὶ Θρᾴκης τε καὶ Μακεδονίας διαχειμάζειν χωρία, καὶ τοῖς ὅπλοις ὁσημέραι γυμνάζεσθαι, ὡς μὴ ἀπόμαχοι εἶεν ἐπὶ τὸν τῶν ἀγώνων καιρόν, μειονεκτοῦντες ἐν τῇ μάχῃ τῶν δυσμενῶν· περιμένειν δὲ τὸν τοῦ ἦρους καιρόν· ἐκείνου γὰρ ἤδη ἐκ τῆς

се бой между двете страни паднали най-храбрите. Казват, че един скит, внушителен със силата и с огромното си тяло, се отделил от своята бойна редица и се спуснал с коня си срещу Варда: ударил го с меч по шлема, но ударът на меча бил напразен. Острието на меча се огънало в твърдостта на шлема и мечът отскочил на другата страна. Патриций Константин, роден брат на Варда, чиито бузи отскоро се били покрили с мъх, огромен на ръст и ненадминат и непобедим по сила, с изваден меч се спуснал да удари скита, обаче той, предвиждайки нападението, отбягнал удара, като се наклонил към задната част на коня. Ударът попаднал на врата на коня и го разсякъл на две. А скитът, повален заедно с коня си, бил съсечен от Константин.

Когато победата клоняла ту на една, ту на друга страна и много пъти се колебаела между едните и другите, Варда заповядал да свирят за настъпление и да бият непрестанно барабаните[1]. По уговорения знак войници излезли от засадата, явили се в тила на скитите и така ги изплашили, че те се впуснали да бягат. Но докато още ромеите не били почнали явно да ги преследват, един от знатните скити, който изпъквал между останалите с големия си ръст и с блясъка на оръжията си, обикалял бойното поле и насърчавал другарите си към смелост. Варда Склир го настигнал с коня си и го ударил по главата. Мечът достигнал до пояса и нито шлемът можал да го защити, нито бронята могла да издържи силата на ръката му и острието на меча. Когато той бил разсечен на две и проснат на земята, ромеите започнали да викат от радост и придобили смелост. А скитите, уплашени от неочаквания и страшен удар, с отчаяни викове разкъсали строя си и се втурнали да бягат. До късна вечер ромеите ги преследвали и безмилостно ги избивали. Казват, че в тази битка загинали петдесет и пет души ромеи, обаче имало много ранени и повечето от конете промушени с копие. А от скитите загинали над двадесет хиляди души. Така завършила битката на ромеите със скитите.

Император Йоан побързал да прекара войските от Азия през Хелеспонт в Европа, за да зимуват в селищата на Тракия и Македония и всеки ден да се обучават с оръжие, за да не бъдат негодни във време на война и да не отстъпят в битките с неприятелите. Те трябвало да чакат настъпването

[1] Става дума за сражението при Аркадиопол (дн. Люлебургаз) през 970 г. Срв. *Златарски*, История, I, 2, стр. 604—605.

χειμερινῆς κατηφείας προκύπτοντος, καὶ εἰς σταθερὰν αἰθρίαν τὸ κοσμικὸν κατάστημα μεταβάλλοντος, αὐτόν τε βασιλέα ὡς αὐτοὺς ἀφικέσθαι, τὰς ἀμφ᾽ αὐτὸν δυνάμεις ἐπαγόμενον, καὶ πανσυδεὶ τοῖς Ταυροσκύθαις συμπλέκεσθαι (p. 108, 17—111, 16).

на пролетта. Когато след мрачната зима се пукне пролетта и внесе в природата трайна ведрина, сам императорът щял да пристигне при тях заедно с войските от столицата и тогава с всички сили щял да влезе в борба с тавроскитите.

8. De Barda Sclero

VII. *γ'. Βάρδαν οὖν, τὸν κατ᾽ἐπωνυμίαν Σκληρόν, ἄνδρα λίαν ἐκτόπως νεανικὸν καὶ δραστήριον, οὗ τὴν σύναιμον Μαρίαν κοινωνὸν ἔσχε βίου τὸ πρόσθεν ὁ Ἰωάννης, κάλλει καὶ σωφροσύνῃ ἐς μέγα κλέους ἥκουσαν (ἔφθη δὲ ταύτην ὁ πικρὸς κατεργασάμενος θάνατος)· τοῦτον ἐν μαγίστροις τελοῦντα καὶ τῶν ἐπὶ Θρᾴκης στρατευμάτων ἐπιστατοῦντα, καὶ τὴν τῶν Ῥῶς σφαδάζουσαν κατὰ τῶν Ῥωμαίων ἐπήλυσιν γενναίως ἀποτειχίζοντα, μετὰ τὴν ἀριστείαν, ἣν ἔναχος ἀνεδήσατο τοὺς Σκύθας τρεψάμενος, ἧπέρ μοι ἤδη δεδήλωται, μεταπεμψάμενος ὁ βασιλεὺς καὶ στρατηλάτην ἀνακηρύξας κατὰ τῶν στασιωτῶν, ἐς τὴν Ἀσίαν ἐξέπεμψεν* (p. 117, 1—11).

8. За Варда Склир

Варда, по прякор Склир, извънредно храбър и енергичен мъж — император Йоан бил женен преди това за неговата сестра Мария, прославена със своята красота и ум, (жестоката смърт рано покосила нейния живот) — този именно (Варда), който бил магистър и началник на войските в Тракия и който мъжествено спрял буйното настъпление на русите срещу ромеите, след подвига, извършен от него неотдавна с прогонването на скитите, както вече споменах, бил повикан от императора, назначен за началник на войската срещу бунтовниците[1] и изпратен в Азия.

9. De clade Romanorum in confiniis Anchiali accepta

ζ'. Ἄρτι τοῦ αὐτοκράτορος Λέοντος φθινάδι νόσῳ τῶν ἔνθεν μεταναστάντος, καὶ Ἀλεξάνδρου, τοῦ αὐτοῦ συναίμου, κατόπιν ἐκείνῳ συναπελθόντος, τῆς δὲ Ῥωμαϊκῆς ἀρχῆς πρός τε Κωνσταντίνου, τοῦ τιθηνουμένου παιδὸς αὐτοῦ, καὶ τῆς Αὐγούστης Ζωῆς, ἐπισφαλῶς φερομένης, Συμεών, ὁ τῶν Μυσῶν ἀρχηγός, ἀνὴρ τολμητίας καὶ θερμουργὸς τὰ πολεμικά, πάλαι σφαδάζων, καὶ τὴν κατὰ Ῥωμαίων μάχην ὠδίνων, εὐκαιρίας δραξάμενος, λεηλατῶν οὐκ ἀνίει Μακεδονίαν καὶ Θρᾴκην εἰς ἀπόνοιάν τε Σκυθικὴν καὶ συνήθη ἐπαρθείς, αὐτοκράτορα ἑαυτὸν ἀνακηρύττειν Ῥωμαίοις ἐκέλευεν. οἱ δὲ τὴν ὕπαιθρον ἀλαζονείαν καὶ ὕβριν τοῦ Σκύθου μὴ φέροντες, τὰ ὅπλα κινεῖν κατ᾽αὐτοῦ ἔγνωσαν. καὶ δὴ Λέοντα τὸν Φωκᾶν, ἀνδρείᾳ καὶ τροπαίοις τηνικαῦτα τῶν λοιπῶν στρατηγῶν ὑπερφέροντα, ἀρχηγὸν τῆς στρατιᾶς προστησάμενοι καὶ Δομέστικον τῶν σχολῶν ἀνειπόντες· Ῥωμανὸν δέ, τῶν ἐμπύρων νεῶν προχειρισάμενοι ναύαρχον (Δρουγγάριον τῶν πλωΐμων τὸν εἰς τὴν τοιαύτην ἀφιγμένον ἀρχὴν ὀνομάζουσιν)· τὸν μὲν ἐκ γῆς, τὸν δὲ ἐκ θαλάσσης,

9. Поражението на византийските войски при Анхиало

Когато император Лъв[2] след изтощителна болест напуснал този свят и родният му брат Александър[3] го последвал скоро след това, ромейската държава се намирала в несигурно положение при невръстния му син Константин[4] и императрица Зоя[5], вождът на мизите Симеон, човек смел и извънредно войнолюбив, който отдавна горял от желание да воюва и подготвял война с ромеите, сега се възползувал от удобния случай и непрестанно опустошавал Македония и Тракия. При това, увлечен от своето скитско и свойствено нему безумие, заповядал на ромеите да го провъзгласят за император[6]. А те, като не могли да понасят явното щеславие и предизвикателство на скита, решили да му обявят война. Назначили Фока[7], който в това време по храброст и победи надминавал останалите военачалници, за предводител на войската и го провъзгласили за доместик на схолите[8], а Роман[9] избрали за началник на огненосните кораби (достигналият до тази длъжност се нарича друнгарий на морските сили). Те били

[1] Варда Фока, племенник на сваления император Никифор Фока, повдигнал въстание в Кесарея Кападокийска около 970—971 г. с цел да завземе византийския престол. Срв. *Златарски*, История, I, 2, стр. 605. — *Ostrogorsky*, History, p. 261. [2] Лъв VI (886—912). Тук авторът прави едно отклонение от изложението си като се връща към по-стари събития. [3] Александър — византийски император (912—913). [4]. Константин VII Багренородни. [5]. Зоя Карвонопсина — четвърта жена на Лъв VI, майка на император Константин VII Багренородни, която до 919 г. управлявала като регентка на малолетния Константин. [6] *Ostrogorsky*, History, p. 233, смята с основание, че Симеон искал да бъде провъзгласен за император на българите и ромеите. [7] Става дума за Лъв Фока Куропалат, брат на император Никифор Фока и баща на Варда Фока. [8] Началник на отред от императорската гвардия. Срв. *Bréhier*, Les Institutions, p. 353. [9] Бъдещият император Роман Лакапин.

Μυσοῖς ἐπιτίθεσθαι προὔπεμψαν. περαιωθέντα δὲ τὸν Λέοντα καὶ τὴν Μυσίαν κατειληφότα φασὶ ἐκτόπως διαγωνίσασθαι, καὶ ἀναρίθμετα πλήθη κατακόψαι τῶν δυσμενῶν, ὡς τὸν Συμεὼν εἰς ἀπορίαν συνελαθῆναι δεινήν, καὶ ἀμηχανεῖν ὅ, τι καὶ δράσῃ, καὶ ὅπως ἐκφύγῃ οὕτω θρασὺν ἄνδρα καὶ ἀκαταγώνιστον. ἤδη δὲ καὶ τῶν ἄλλων ἀπειρηκότων Μυσῶν καὶ πρὸς φυγαδείαν τρεπομένων, ἀγγελίαν πρός τινος λέγεται τῶν ὑπασπιστῶν ἀνενεχθῆναι τῷ Λέοντι, ὡς ὁ Δρουγγάριος Ῥωμανὸς αὐτοῖς ἱστίοις ἀπάρας, κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος, ἔρωτι τυραννίδος ἀποπλέει εἰς τὸ Βυζάντιον. τὸν δέ, τῷ ἀπαισίῳ τῆς ἀγγελίας περιαλγήσαντα, διαλῦσαί τε τὸν συνασπισμόν, καί, νῶτα τοῖς Μυσοῖς δόντα, ἐπείγεσθαι πρὸς τὴν βασιλεύουσαν, εἴ πως τὸν τοῦ Ῥωμανοῦ προτερήσοι ἐπίπλουν, καὶ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐγκρατὴς γένοιτο. τὸν δὲ Συμεών, τὴν ἀπροφάσιστον καὶ ἀλλόκοτον ἰδόντα Ῥωμαίων φυγήν, ἐνδοιάσαι μὲν ἐς τὸ παραυτίκα, μή τι σκαιωρούμενον εἴη, καὶ ὄλεθρος Μυσοῖς ἐπισπομένοις ἐγγένηται· μαθόντα δὲ ἀνὰ κράτος φεύγειν αὐτούς, ἕπεσθαι τε, καὶ ἄπειρα πλήθη συγκόψαι ἀνηλεῶς. καὶ νῦν ἐστὶν ὁρᾶν εἰσέτι σωρείας ὀστῶν παρὰ τὴν Ἀγχίαλον, καθ' ἣν ἀκλεῶς συνεκόπε τότε φεῦγον τῶν Ῥωμαίων τὸ στράτευμα. ὁ δὲ Λέων, ἐπείπερ ὑστέρησε τῆς εἰς τὸ Βυζάντιον ἀφίξεως, καὶ τῆς ἐλπίδος ἡμάρτανεν (ἔφθη γὰρ ὁ Ῥωμανὸς τὴν βασίλειον ἑστίαν κατειληφὼς καὶ Πατὴρ Βασιλέως ἀναῤῥηθείς), ἐς τὴν Ἀσίαν διὰ τῆς Ἀβύδου περαιωθείς, πρὸς ἀποστασίαν ἀπέκλινε, καὶ πολλὰ τῷ Ῥωμανῷ καὶ τῇ πολιτείᾳ παρέσχε πράγματα, κατατρέχων, καὶ τοὺς ἐτησίους φόρους ἀφαιρούμενος, καὶ τοὺς ἀντικαθισταμένους χειρούμενος. ἤδη δὲ τῷ χρόνῳ τοῦ ληστρικοῦ διασκεδασθέντος, καὶ εἰς τοὔμπαλιν αὐτῷ ὑπονοστήσαντος τοῦ βουλεύματος, φυγαδείᾳ χρήσασθαι, συλληφθῆναί τε καὶ ὠμῶς ἐκκεντηθῆναι τοὺς ὀφθαλμούς (pp. 122, 22—124, 21).

изпратени да нападнат мизите — единият по суша, а другият по море.[1] Казват, че Лъв, когато преминал границата и навлязъл в Мизия, се сражавал извънредно храбро и съсякъл извънредно много неприятели, така че Симеон бил докаран до страшна безизходност и не знаел какво да стори и как да се отърве от този толкова смел и непобедим мъж. След като и другите мизи се отчаяли и се впуснали да бягат, на Лъв — казват — било донесено известие от един войник, че друнгарий Роман вдигнал котва и с корабите си, тласкани от попътен вятър, отплувал за Цариград, обладан от страст да заграби властта. А Лъв, огорчен от злокобното известие, прекратил сражението, обърнал гръб на мизите и потеглил към престолния град, та дано изпревари флотата на Роман и завладее ромейската върховна власт.

Като видял безпричинното и странно бягство на ромеите, Симеон отначало се усъмнил дали това не е направено умишлено и не очаква ли гибел мизите, ако се впуснат след тях. Обаче като узнал, че бягат, започнал да ги преследва и безмилостно посякъл неизброимо множество. И сега още могат да се видят купища кости при Анхиало, гдето тогава позорно била посечена бягащата войска на ромеите. А пък Лъв закъснял с пристигането си във Византион и останал излъган в своите надежди (защото Роман преди него завзел царския дворец и бил провъзгласен за василеопатор[2]). След като преминал през Абидос[3] в Азия, той въстанал и създал много грижи на Роман и на държавата: извършвал опустошения, заграбвал ежегодните данъци и покорявал тези, които му се противопоставяли. Когато с течение на времето неговата шайка се разпръснала и намерението му не могло да се осъществи, той се впуснал да бяга, обаче бил заловен и му били извадени очите по жесток начин[4].

10. Joannes contra Scythas bellum parat

η'. Ὁ δὲ αὐτοκράτωρ Ἰωάννης ἐδήλου, τὸν μὲν τοῦ Φωκᾶ Βάρδαν, κληρικὸν ἀποκαρέντα, ἅμα συζύγῳ καὶ τέκνοις ἐν τῇ νήσῳ χίῳ περιορίσαι

10. Йоан Цимисхий се готви за поход срещу русите

Император Йоан заповядал на Варда Склир да подстриже Варда Фока за монах и да го изпрати на заточение на остров Хиос с жена

---

1 Византийска сухопътна войска под началството на Лъв Фока се отправила по най-краткия път към българските граници. Едновременно от Босфора излязла в Черно море византийската флота, начело с друнгария Роман Лакапин, комуто било възложено да прекара печенегите през р. Дунав, за да нападнат българите по същото време. *Златарски*, История, I, 2, стр. 386—387. 2 През март 919 г. Роман свалил с преврат Зоя, която била подстригана и изпратена в манастир. През април същата година той оженил малолетния Константин за дъщеря си Елена, а себе си обявил за василеопатор и взел управлението на държавата в ръцете си. Срв. *Златарски*, История, I, 2, стр. 401—402. 3 Абидос — град на малоазийския бряг на Дарданелите. 4 Събитията се отнасят към 970 г. Срв. *Златарски*, История, I, 2 стр. 605. — *Карышковский*, О хронологии русско-византийской войны, стр. 136.

αὐτὸν δὲ, τὰς δυνάμεις ἀνειληφότα, ἐς τὴν Εὐρώπην διὰ τοῦ Ἑλλησπόντου διαπερᾶν, χειμεριοῦντα πρὸς τὰ ἐκεῖσε χειμάδια· ὡς, ἦρος εὐθὺς ἐπιγνομένου, καὶ αὐτὸν βασιλέα μετὰ τῶν ὑπασπιστῶν ἐκστρατεῦσαι κατὰ Σκυθῶν· μηδὲ γὰρ τὴν τούτων ἀκάθεκτον ὕβριν καρτερῆσαι λοιπόν·

θʹ. Οὗτοι γὰρ, τὴν ἀπὸ τῆς Εὐρώπης τοῦ στρατηλάτου Βάρδα διαγνόντες ἄπαρσιν, ἐς τὴν Ἀσίαν παρὰ βασιλέως σταλέντος διὰ τὸν ἔναγχος ἀναῤῥιπισθέντα πρὸς τοῦ Φωκᾶ Βάρδα νεωτερισμὸν, καθάπερ μοι ἤδη ἐῤῥήθη, τὰ μέγιστα Ῥωμαίους ἐσίνοντο, αἰφνιδίους ἐπεξελάσεις ποιούμενοι, καὶ τὴν τῶν Μακεδόνων ληϊζόμενοι καὶ δῃοῦντες ἀφειδῶς· τοῦ τὴν ἐπιστασίαν τῆς ἐνταῦθα στρατιᾶς ἐγχειρισθέντος Ἰωάννου Μαγίστρου, ᾧ Κουρκούας ἐπώνυμον, ἐς ῥᾳστώνην καὶ πότους, παρὰ τὸ εἰκός, ἀποκλίναντος, ἀπείρως τε καὶ ἀμαθῶς κεχρημένου τοῖς πράγμασι· τῷ τοι καὶ ἐς αὐθάδειαν καὶ θράσος τὰ Ῥωσικὰ ἐπήρθη φρονήματα. τὴν ὑπέραυχον τοιγαροῦν ἀλαζονείαν αὐτῶν, καὶ τὸν ἀντικρὺς προπηλακισμὸν μὴ στέγων ὁ βασιλεὺς, παντὶ σθένει κολούειν καὶ κατασπᾶν ἠπείγετο ἐκ τοῦ συστάδην τούτοις συμπλέκεσθαι. ἐντεῦθεν καὶ τὰς ἐμπύρους τριήρεις ἑρματίζειν προσέταττε, καὶ σίτου πλῆθος ἐς τὴν τοῦ Ἀδριανοῦ πόλιν διὰ τῶν σιτηγῶν πλοίων κομίζειν, καὶ χορτάσματα τῶν ὑποζυγίων, καὶ ἀποχρῶντα ὅπλα τῇ στρατιᾷ, ὡς μήτινος τούτων κατὰ τὸν καιρὸν τῶν ἀγώνων οἱ Ῥωμαῖοι σπανίζοιεν (p. 126, 2—127, 3).

му и децата му, а сам той заедно с войските да премине през Хелеспонт в Европа и там да прекара зимата в зимните лагери. Веднага щом настъпила пролетта, самият император със своите войници щял да тръгне на поход срещу скитите, защото не можел да понася повече дръзките им обиди.

А скитите, като узнали за заминаването на военачалника Варда от Европа в Азия (той, както вече казах, бил изпратен там от императора поради избухналия неотдавна бунт на Варда Фока), започнали да нанасят много големи пакости на ромеите, правели внезапни нахлувания и безпощадно грабели и опустошавали страната на македонците[1]. Тогава за началник на тамошната войска бил назначен магистър Йоан Куркуа, който бил извънредно много склонен към безделие и пиянство и изпълнявал задълженията си неумело и небрежно. Поради това духът на руситe ставал все по надменен, а те — все по дръзки. И тъй императорът, като не могъл да понася високомерието, дързостта и явните им предизвикателства, се устремил с всички сили да ги сломи и унищожи, като се срещне лице с лице в бой с тях. Той заповядал да приготвят огненосните кораби, а с продоволствени кораби да доставят в Адрианопол много храни, фураж за добитъка и достатъчно оръжие за войската, та през сраженията ромеите да бъдат задоволени с всички тези неща.

11. Romani Praesthlabam oppugnant

VIII, αʹ. Κἀνταῦθα δὲ ἱκετηρίαις τὸ θεῖον, ὡς τὸ εἰκὼς, ἐξιλεωσάμενος, ἄνεισιν ἐς τὰ ἐκεῖσε ἀνάκτορα, τὰς πυρφόρους τριήρεις ὀψόμενος, τακτικῶς πρὸς τὸ τοῦ Βοσπόρου σαλευούσας προκόλπιον, ᾧ καὶ ἐπίνειον ταῖς φορτίσι καθέστηκεν εὔορμον καὶ εὐγάληνον, ἐς καμπὴν ἠρέμα μέχρι τῆς γεφύρας καί τοῦ κατ' αὐτῆς εἰσβάλλοντος ποταμοῦ ἐκτεινόμενον. τὴν γοῦν μετ' ἐμπειρίας καὶ κόσμου τῶν τριηρῶν εἰρεσίαν καὶ ἅμιλλαν ὁ βασιλεὺς θεασάμενος (ἐτύγχανον δὲ ὑπὲρ τὰς τριακοσίας, συνάμα λέμβοις καὶ ἀκατίοις, ἃ νῦν γαλέας καὶ μονέρια κοινᾶς ὀνομάζουσι), φιλοφρονησάμενος τε τοὺς ἐρέτας καὶ τὸ περὶ αὐτὰς στρατιωτικὸν ἀργυρίου διανομῇ, ἐς τὸν Ἴστρον ἐκπέμπει, τὸν τούτου πόρον φρουρήσοντας, ὡς μὴ ἐνὸν εἴη τοῖς Σκύθαις, ἐς τὴν σφῶν πατρίδα ἐκπλεῖν καὶ τὸν Κιμμέριον Βόσπορον, εἴγε πρὸς φυγὴν ἀποκλίνοιεν. λέγεται δὲ τὸν Ἴστρον ἕνα τῶν ἐξ Ἐδὲμ ἐκπορευομένων εἶναι ποταμῶν, τὸν ἐπικεκλημένον Φισῶν, ἐκ τῆς ἕω μὲν ἐκδιδόμενον,

11. Падането на Преслав

След като се помолил на бога според обичая си, той[2] влязъл в тамошния дворец, за да направи преглед на огненосните кораби, строени в Босфорския залив (там се намира удобно и спокойно пристанище за товарни кораби, което се простира в лека извивка чак до моста и до вливащата се на това място река). Императорът наблюдавал изкусното и стройно плаване и надпреварване на корабите (те били над триста заедно с корабите и лодките, наричани сега „галеи" и „монери")[3]. Той дал парични награди на техните гребци и войници и след това ги изпратил към Истър да пазят устието на реката, за да не могат скитите, ако почнат да бягат, да отплуват в отечеството си и в Кимерийския Босфор. Казват, че Истър е една от реките, които изтичат от Едема и се нарича Фисон. Извира от изток, но се скрива

[1] Със „страната на македонците" тук е означена Източна Тракия. Срв. *Ostrogorsky,* History, p. 172. [2] Император Йоан Цимисхий. [3] Галеите били малки военни кораби, карани с гребла (по-късно наричани „галери"), а монерите — кораби с един ред гребци.

ὑποδυόμενόν τε κατὰ γῆν ἀμηχάνῳ τοῦ δημιουργοῦ σοφίᾳ. καὶ αὖθις ἐκ τῶν Κελτικῶν ὀρέων ἀναπιδύοντα, ἑλισσόμενόν τε διὰ τῆς Εὐρώπης, καὶ, εἰς πέντε τεμνόμενον στόματα, τὸν ῥοῦν ἐσβάλλειν παρὰ τὸν Πόντον ὃς Εὔξεινος ὀνομάζεται. τινὲς δὲ Φισῶν τὸν τὴν Ἰνδικὴν τέμνοντα γῆν τυγχάνειν, ὃν καὶ Γάγγην κικλήσκειν εἰώθασι, παρ᾽ ᾧ ἐξευρίσκεται ὁ λίθος ὁ σμάραγδος.

β΄. Ἀλλ᾽αἱ μὲν τριήρεις τοῦτον τὸν τρόπον ἐπὶ τὸν Ἴστρον ἀνήχθησαν. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τοῦ Βυζαντίου ἀπάρας, ἐς τὴν Ἀδριανοῦ σὺν παντὶ τῷ στρατεύματι παραγίνεται. ἣν Ὀρέστην φασὶ πολίσαι τὸν τοῦ Ἀγαμέμνονος, ὅτε τὸν πλάνον ὑπέστη μετὰ τὴν ἀναίρεσιν Κλυταιμνήστρας, τῆς ἰδίας μητρός ἐξ ἐκείνου τε Ὀρεστιάδα κεκλῆσθαι τὸ πρότερον. Ἀδριανὸν δὲ αὖθις τὸν αὐτοκράτορα, Σκύθαις μαχόμενον, ἁλῶναί τε τῇ θέσει τῆς χώρας, καὶ ταύτην ἐχυροῖς περιβόλοις τειχίσαι, καὶ Ἀδριανοῦ ὀνομάσαι. ἐνταῦθα δὲ ὁ βασιλεὺς ἀφικόμενος, ἀναμαθών τε πρὸς τῶν σκοπῶν, ὡς ἐπάγουσαι εἰς τὴν τῶν Μυσῶν δυσέμβολοι καὶ ἐστενωμένοι ἀταρπιτοί, ἃς καὶ κλεισούρας, διὰ τὸ οἱονεὶ κατακεκλεῖσθαι, κατονομάζουσι, παρὰ τῶν Σκυθῶν οὐ παραφυλάττονται, τοὺς λοχαγοὺς καὶ ταξιάρχους συναγηοχώς, ἔλεξε τοιάδε· „Ὤιμην μὲν ὦ συστρατιῶται, Σκύθας τὴν ἡμετέραν ὡς αὐτοὺς ἐκ πολλοῦ προσδοκῶντας ἄφιξιν, παντὶ σθένει τὰ ἐπικαιρότατα καὶ στενώτατα, δυσπρόσοδά τε, τῶν ἀταρπιτῶν, θριγκοῖς τισι καὶ ἐρκίοις συγκλεῖσαι, ὡς μὴ εὐπετῶς ἡμῖν εἴη εἰς τὰ πρόσω εἰσιτητέα. ἐπεὶ δὲ ἡ τοῦ θείου Πάσχα ἐπέλευσις ἔσφηλε τούτους, προκατασφαλίσασθαι τὰς ὁδοὺς καὶ ἀπεῖρξαι τὴν ἡμῶν πάροδον, μὴ πεισθέντας, ὡς καταλιπόντες ἡμεῖς τὰ τῇ μεγάλῃ ἑορτῇ ἐφεπόμενα, λαμπροφορίας, καὶ προόδους, καὶ τρυφάς, καὶ θέατρα, περὶ πόνους καὶ ταλαιπωρίας πολέμων ἐναποκλίνομεν, δοκεῖ μοι ἄριστα πράξειν, εἰ ἐξαυτῆς ἁρπάσωμεν τὸν καιρὸν, καὶ ὡς ἔχομεν τάχους ἐνσκευασάμενοι, τὴν ἐς τενωμένην ὁδὸν πορευθείσωμεν, πρὸ τοῦ Ταυροσκύθας αἰσθέσθαι τὴν ἡμῶν ἔφοδον, καὶ εἰς ἀλκὴν κατὰ τὰς δυσχωρίας ὁρμῆσαι. εἰ γὰρ προτερήσομεν τὴν τῶν ἐπισφαλῶν χωρίων διάβασιν, καὶ ἀπροσδόκητοι τούτοις προσβάλωμεν, οἶμαι (σὺν Θεῷ δὲ εἰρήσθω), αὐτοβοεὶ καὶ τὴν πόλιν Πρεσθλάβαν αἱρήσειν, ἣ Μυσοῖς ἐστὶ τὰ βασίλεια· κἀκεῖθεν ὁρμώμενοι, ῥᾷστα τὴν Ῥωσικὴν ἀπόνοιαν καταγωνισόμεθα.“

γ΄. Ἀλλὰ ταῦτα μὲν εἶπεν ὁ βασιλεύς, τοῖς δέ γε στρατηγοῖς καὶ ταξιάρχοις ἄκαιρος ἐδόκει ταυτὶ τὰ ῥηθέντα τόλμα, καὶ τηνάλλως θράσος ἐς ἀπόνοιαν ἐκπίπτον ἀλόγιστον, ἀπεριοσκέπτως τὴν Ῥωμαϊκὴν δύναμιν διὰ σηραγγώδους καὶ κρημνώδους ὁδοῦ διαβιβάζειν ἐπὶ τῆς ἀλλοδαπῆς προτρεπόμενα.

под земята по непостижимата мъдрост на Създателя, а после пак излиза на земята от келтските планини[1]; след това се извива през Европа и, разделена на пет устия, влива водите си в Понт, наречен Евксински. Някои предполагат, че Фисон е реката, която, известна под името Ганг, прекосява Индийската земя, където се намира камъкът смарагд.

По този начин корабите достигнали до река Истър. Император Йоан, като се вдигнал от Цариград, пристигнал с цялата си войска в Адрианопол. Казват, че Орест, синът на Агамемнон, основал (този град), когато започнал да странствува, след като погубил собствената си майка Клитемнестра. По негово име градът по-рано се наричал Орестиада[2]. След това император Адриан[3], когато воювал със скитите, очарован от местоположението му, го оградил със здрави стени и го нарекъл Адрианопол. Императорът, като пристигнал тук и като узнал от съгледвачите, че към земята на мизите водят мъчнопроходими и тесни пътеки, наречени също клисури (понеже като че ли са заключени), и че те не се охраняват от скитите, свикал стотниците и военачалниците и им казал следното: „Аз мислех, съратници, че скитите очакват нашето пристигане и че здраво са укрепили с прегради и препятствия благоприятните за тях тесни и непроходими пътеки, за да бъде трудно за нас да проникнем навътре. Но настъпването на светата Пасха им е попречило да преградят пътищата и да спрат нашето преминаване. Те не са мислели, че ще оставим свързаните с великия празник обичаи — блестящите одежди и шествията, пиршествата и зрелищата — и ще се обърнем към мъките и изпитанията на войната. Затова според мен ще направим най-добре, ако веднага се възползуваме от сгодния случай и като грабнем незабавно оръжието — да преминем тесния път, преди тавроскитите да усетят нашето идване и да излязат на бой в тези опасни места. Ако избързаме с преминаването на опасните пътища и ги нападнем неочаквано, мисля че, така да се каже с божия помощ, при първото нападение ще превземем и град Преслав, който е столицата на мизите. И като тръгнем оттам, много лесно ще надвием руското безумие.“ Това казал императорът[4]. Но тази реч, която насърчавала ромейската войска да премине без колебание в чуждата земя през стръмни и пълни с про-

[1] С „келтските планини“ Лъв Дякон по всяка вероятност означава Алпите. [2] Адрианопол — дн. Одрин. [3] Римски император (117—138). [4] Хронологията на тези събития не е окончателно установена. *Златарски*, История, I, 2, стр. 609, смята, че битката за завладяването на българската столица е станала през април 972 г. *Карышковский*, О хронологии русско-византийской войны, стр. 138, датира същата битка през пролетта на 971 г. *П. Петров*, пос. съч., стр. 186, приема 970 г.

ἐφ᾿ἱκανὸν οὖν χρόνον σιωπώντων αὐτῶν, ἀναλαβὼν αὖθις καὶ ἀνοιδήσας ὁ αὐτοκράτωρ φησίν· „Ὅτι μὲν τὸ μὴ λελογισμένως παρὰ τοὺς πολέμους χωρεῖν, ἀλλ᾿αὐθαδῶς καὶ θρασέως, κίνδυνον εἴωθεν ὡς μάλιστα προξενεῖν καὶ πανολεθρίον ἀνήκεστον, ἐπίσταμαι καὶ αὐτὸς, ἐκ νεότητος ταῖς μάχαις ἀναστραφείς, καὶ πολλὰ τρόπαια, καθὼς ἴστε, καὶ νίκας ἀναδησάμενος. ὅτι δὲ, ἐν οἷς ὁ καιρὸς, ὡς ἐπὶ ξυροῦ ἀκμῆς ἑστηκώς, μὴ κατὰ γνώμην χρῆσθαι τοῖς πράγμασι δίδωσι, δεῖ που τοῦτον προαρπάζειν, καὶ τὰ οἰκεῖα εὖ τίθεσθαι, συνθήσεσθαί μοι δοκῶ καὶ αὐτούς, ἐμπειρίαν πολλὴν ἀναλεξαμένους ἐκ τῆς ἀλλεπαλλήλου καὶ ἑτεροκλινοῦς τῶν πολέμων ῥοπῆς. εἴ τι οὖν μοι πείθεσθε τὰ λῷονα συμβουλεύοντι, ἕως οἱ Σκύθαι πρὸς ῥαστώνην ἀναπεπτώκασι, μήπω τὴν ἡμῶν αἰσθόμενοι ἄφιξιν, ἁρπάσωμεν τὸν καιρόν, καὶ ἡ νίκη τῇ διαβάσει τῆς κλεισούρας συνέψεται. εἰ γὰρ διαβησείοντας ἡμάς αἴσθοιντο. Καὶ εἰς ἀντίπαλον ἐπὶ τῶν στενωπῶν ἀντιτάξαιντο φάλαγγα, οὐκ εἰς καλὸν ἡμῖν τελευτήσει τὰ πράγματα, ἀλλ᾿εἰς ἀπορίαν καὶ ἀμηχανίαν δεινήν. ἐπιῤῥώσαντες οὖν τοὺς θυμούς, καὶ λογισάμενοι, ὅτι Ῥωμαῖοί ἐστε, οἵ τὸ ἀντίξουν ἅπαν τὸ πρόσθεν ὅπλοις καταστρεφόμενοι, ἕπεσθε τὴν ταχίστην, τὴν σφῶν ἀρετὴν ἐπὶ τῶν ἔργων ἐπιδεικνύμενοι.“

δ'. Ταῦτα εἰπών, καὶ ἀριπρεπεῖ παντευχίᾳ καθοπλισθείς, ἐφ᾿ἵππου τε γαύρου καὶ σοβαροῦ ἐπιβάς, καὶ δόρυ ἐπωμισάμενος μήκιστον, ἀπήρχετο τῆς ὁδοῦ, προπορευομένην ἔχων τὴν τῶν λεγομένων ἀθανάτων φάλαγγα, τεθωρακισμένην ἐπιεικῶς· εἵποντο δὲ αὐτῷ ὁπλῖται μὲν τῶν ἀλκιμωτάτων πρὸς τοῖς μυρίοις πεντακισχίλιοι, ἱππεῖς δὲ μύριοι καὶ τρισχίλιοι. τὸ δὲ λοιπὸν στρατιωτικὸν μετὰ τοῦ θητικοῦ, φέρων τὰς ἑλεπόλεις καὶ τὰς παντοδαπὰς μηχανὰς, βάδην ἐξόπισθεν εἵπετο, ἅμα τῷ προέδρῳ Βασιλείῳ, ᾧ τὴν τούτων ὁ βασιλεὺς ἐπέτρεψε πρόνοιαν. ἐπεὶ δὲ τοὺς ἐπισφαλεῖς καὶ κρημνώδεις τόπους διώδευε παρὰ πᾶσαν ὑπόνοιαν, τὸ σύντονον ἐπισχὼν τῆς πορείας, ἐπί τινος ἐχυροῦ γηλόφου ἐκ τοῦ θατέρου μέρους παραῤῥέοντα ἔχοντος ποταμόν, ὑδάτων πληθώραν ἐπαγγελλόμενον, τήν τε ἵππον καὶ τὸν στρατον διανέπαυσεν. ἄρτι δὲ σταθηρᾶς ἡμέρας ἀπαυγαζούσης, διαναστάς, καὶ ἐς βαθείας φάλαγγας διατάξας τὸ στράτευμα, τὴν ἐπὶ Πρaισθλάβας ἤει, θαμινὰ τὰς σάλπιγγας τὸ ἐνυάλιον ἐγκελευσάμενος ἐπηχεῖν, ἀλαλάζειν τε τὰ κύμβαλα, καὶ τὰ τύμπανα παταγεῖν. ἐντεῦθεν βοή τις ἄρρητος ἀνεδίδοτο, συνεπηχούντων τοῖς τυμπάνοις τῶν ἐκεῖσε ὀρέων, καὶ ἀντικτυπούντων τῶν

пасти пътища, се сторила на военачалниците и на пълководците безсмислена дързост и напразна смелост, близка до истинско безумие. Те мълчали дълго време. Тогава императорът заговорил отново и разгневен рекъл: „И самият аз, който от младост съм живял в битките и, както ви е известно, съм спечелил много трофеи и победи, зная, че ако в сраженията не се действува разумно, а дръзко и смело, това в повечето случаи носи опасности и непоправима гибел. Обаче смятам, че и вие, които сте придобили голяма опасност от колебливия и променлив ход на битките, ще се съгласите с мене, че когато щастието виси сякаш на косъм и не ни позволява да постъпим според доводите на разума, ние трябва сами да го грабнем и да се възползваме от него. Ако вярвате, че моят съвет е по-добър, нека издебнем сгодния момент, докато скитите прекарват в безделие и не подозират пристигането ни. Така нашето преминаване на прохода ще бъде последвано от победа. Ако те разберат, че искаме да се промъкнем, и поставят войска срещу нас в теснините, нашето дело не ще свърши добре, но ще стигне до безизходност и страшна безнадеждност. И тъй, бъдете смели и знайте, че сте ромеи, които преди това с оръжие са сломявали всеки противник и тръгнете веднага след мене, за да покажете на дело своята храброст.“

След като казал това, императорът, облечен във великолепни доспехи, с много дълго копие на рамото си, яхнал едър и буен кон, тръгнал напред, предшествуван от отреда на така наречените безсмъртни, облечени в хубави ризници. Следвали го петнадесет хиляди най-храбри пехотинци и тринадесет хиляди конници. Останалата войска, заедно с обоза, със стенобойните и различни други машини, вървяла бавно отзад начело с проедра Василий[1], комуто императорът поверил да се грижи за тях. Когато против очакването на всички войската преминала опасните и стръмни места, императорът прекратил трудния поход и настанил за почивка конницата и пехотата си на един безопасен хълм, заграден от двете страни с река, която предлагала изобилна вода. Сутринта на другия ден той вдигнал лагера, построил войската в колони и като заповядал тръбите непрестанно да свирят за настъпление, да удрят кимвалите и да бият барабаните, потеглил за Преслав. Тогава се дигнал неописуем шум. Околните планини ечали от бненето на барабаните, оръжията звънтели,

[1] Става дума за известния паракимомен Василий, който бил на служба в двореца и имал голямо влияние още по времето на император Никифор Фока.

ὅπλων, καὶ τῶν ἵππων χρεμετιζόντων, τῶν τε ἀνδρῶν ἀλλήλοις ἐκβοώντων καὶ πρὸς τὴν μάχην ἐπιῤῥωννύντων, ὡς τὸ εἰκός. Ταυροσκύθας δέ, τὴν τοῦ στρατοπέδου μετ᾿ ἐμπειρίας ὡς αὐτοὺς ἀθρήσαντες ἐπεξέλασιν, ἀμηχανία καὶ δέος ᾕρει, τῷ ἀπροσδοκήτῳ καταπλαγέντας τοῦ πράγματος. ἀλλὰ καὶ ὡς σπουδῇ τὰ ὅπλα ἁρπάσαντας, καὶ τοὺς θυρεοὺς ἐπωμισάμενοι (ἐρυμνοὶ δὲ οὗτοι, καὶ ἐς τὸ ἀσφαλὲς ποδήρεις ἐξειργασμένοι πεποίηνται), ἐς καρτερὸν ἀντικαταστάντες συνασπισμόν, ἐπὶ το πρὸ τοῦ ἄστεος ἱππήλατον πεδίον Ῥωμαίοις ἀντεπήεσαν, δίκην θηρίων βρυχόμενοι, καὶ καινὴν καὶ ἀλλόκοτον προϊέμενοι φωνήν. Ῥωμαῖοι δέ, συμβαλόντες αὐτοῖς, ἐῤῥωμένως ἐμάχοντο, καὶ ἄξια πολέμων ἔργα εἰργάζοντο, τῆς μάχης ἰσοπαλοῦς ἀμφοτέροις γεγενημένης. ἐνταῦθα τοῖς ἀθανάτοις ὁ βασιλεὺς κατὰ τὸ εὐώνυμον τῶν Σκυθῶν κέρας μετὰ ῥύμης εἰσβάλειν ἐγκελεύεται. οἱ δέ, προβαλόντες τοὺς ἄκοντας, καὶ σφοδρῶς τοῖς μύωψι τοὺς ἵππους κεντρίσαντες, κατὰ τούτων ἤλαυνον. Σκύθαι δέ, ἅτε πεζέταιροι χρηματίζοντες· οὐδὲ γὰρ ἀφ᾿ ἵππων εἰθισμένον ἐστὶν αὐτοῖς ἀγωνίζεσθαι, ὅτι μηδὲ πρὸς τοῦτο γυμνάζονται· οὐχ ὑπήνεγκαν τὸν τῶν Ῥωμαίων δορατισμόν, ἀλλ᾿ ἐκκλίναντες εἰς φυγήν, ἐπὶ τὸν τοῦ ἄστεος περίβολον συνεκλείοντο· οὓς ἑπόμενοι Ῥωμαῖοι ἀνηλεῶς ἔκτεινον. φασὶ γὰρ παρὰ ταύτην τὴν προσβολὴν ὀκτακισχιλίους πρὸς τοῖς πεντακοσίοις ἀναιρεθῆναι Σκυθῶν.

Οἱ δὲ περιλειφθέντες, ἐπεὶ πρὸς τὸ ἄστυ συνεκλείσθησαν, ἐκ τῶν ἐπάλξεων ἄνωθεν ἐῤῥωμένως ἠκροβολίζοντο. τηνικαῦτα λέγεται καὶ τὸν Πατρίκιον Καλοκύρην, τῇ Πρασθλάβᾳ ἐπιχωριάζοντα, ὅσπερ τὴν Ῥωσικὴν πανοπλίαν κατὰ τῶν Μυσῶν τὸ πρόσθεν, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, κεκίνηκεν, αἰσθόμενον τὴν τοῦ αὐτοκράτορος ἄφιξιν (οὐδὲ γὰρ ἐνῆν λανθάνειν, τῶν βασιλικῶν παρασήμων τῇ στιλπνότητι τοῦ χρυσοῦ ἄῤῥητον ἐκπεμπόντων μαρμαρυγήν), λαθραίως ὑπὸ νύκτα βαθεῖαν ὑπεξελθεῖν τε τοῦ ἄστεος καὶ ὡς τὸν Σφενδοσθλάβον ἀφικέσθαι, αὐτοῦ που παρὰ τὸ Δορύστολον (ὃ τὰ νῦν Δρίστα καλεῖται) πανσυδὶ διατρίβοντα. ἀλλ᾿ οὕτω μὲν ὁ Καλοκύρης ἀπέδρασε, Ῥωμαίους δὲ ἡ νὺξ ἐπελθοῦσα τῆς μάχης ἐπέσχεν. ἄρτι δὲ κατὰ τὴν ὑστεραίαν καὶ τῆς λοιπῆς στρατιᾶς μετὰ τῶν ἑλεπόλεων ἀφιγμένης (ἡμέρα δὲ ἦν ἡ καλούμενη μεγάλη πέμπτη, καθ᾿ ἣν ἐπὶ τὸ πάθος μολὼν ὁ Σωτὴρ τὰ σωτήρια τοῖς μαθηταῖς μετὰ τὸν μυστικὸν δεῖπνον διδάγματα ἐξεπαίδευσε), πρωΐθεν ὁ αὐτοκράτωρ Ἰωάννης ἐξαναστὰς εἰς ἀῤῥαγῆ συνασπισμὸν διατάξας τὰς φάλαγγας, παιωνίσας τε τὸ ἐνυάλιον, τῷ τείχει προσέβαλεν, ὡς αὐτοβοεὶ αἱρήσων τὴν πόλιν. Ῥῶς δὲ καὶ αὐτοὶ πρὸς τοῦ σφῶν παρακροτούμενοι στρατηγοῦ (Σφέγκελος δὲ ἦν οὗτος, ὁ τρίτην ἔχων τιμὴν παρὰ Σκύθαις μετά γε Σφενδοσθλάβον· ἐκεῖνος γὰρ

конете цвилели, а войниците, както обикновено, се поощрявали един други с викове за сражение. Смут, страх и ужас обзели поразените от изненада тавроскити, когато забелязали изкусното настъпление на войската към тях. Но въпреки това бързо грабнали оръжието, нарамили щитовете си (щитовете им са яки и за по-голяма безопасност са направени дълги чак до краката) и, наредени в стегнат строй, излезли срещу ромеите в равното поле пред града. Те ревели като диви зверове и надавали необикновени и странни викове. Ромеите влезли в сражение с тях, биели се храбро и извършвали големи военни подвизи, обаче никоя страна нямала надмощие в битката. Тогава императорът заповядал на безсмъртните да нападнат стремително лявото крило на скитите. С издадени напред копия и като пришпорили силно конете си, те се спуснали срещу неприятелите. Скитите като пехотинци не са свикнали да се бият на коне, тъй като не са се и упражнявали в това. Те не могли да устоят срещу копията на ромеите, а побягнали и се заключили в стените на града. Ромеите ги преследвали и безмилостно ги избивали. Казват, че при това нападение били избити осем хиляди и петстотин скити.

Оцелелите, след като се заключили в града, се биели храбро горе от крепостните стени. Казват, че патриций Калокир, който тогава се намирал в Преслав и който, както вече казах, бил повдигнал преди това цялата руска войска срещу мизите, разбрал, че е пристигнал императорът (това не могло да остане незабелязано, понеже царското облекло силно светело поради блясъка на златото). Той излязъл тайно от града късно през нощта и отишъл при Светослав, който се намирал с войската си в Доростол, наречен сега Дръстър. Така избягал Калокир, а настъпилата нощ накарала ромеите да прекратят битката. На другия ден пристигнала и останалата войска със стенобойните машини. (Този ден бил така нареченият велик четвъртък, когато Спасителят, готвейки се за страдания, наставлявал учениците си със спасителните си поучения след Тайната вечеря.) Император Йоан се вдигнал рано сутринта, наредил отредите си в стегнат боен строй, накарал да подемат бойния зов и настъпил към крепостната стена, за да превземе с един пристъп града. И самите руси, поощрявани от своя военачалник (той се наричал Свенкел[1] и заемал у скитите трето място след Светослав, защото последният

ἁπάντων κατῆρχεν), ἐκ τῶν ἐπάλξεων ἀντετάξαντο, καὶ Ῥωμαίους ἐπιόντας κατὰ τὸ ἐνὸν ἠμύναντο, ἀκόντια καὶ βέλη καὶ λίθους χειροπληθεῖς ἐπαφιέντες ἄνωθεν. Ῥωμαῖοι δέ, τοῖς τε τόξοις καὶ πετροβόλοις ὀργάνοις, σφενδόναις τε καὶ ἀκοντίοις θαμινώτερον κάτωθεν βάλλοντες, ἀνεῖργον τοὺς Σκύθας, βιαζόμενοι, καὶ μὴ ἐῶντες ἀδεῶς προκύπτειν ἐκ τῶν ἐπάλξεων. ὁ δὲ αὐτοκράτωρ, γεγωνότερον ἐμβοήσας καὶ τῷ περιβόλῳ τὰς κλίμακας προσερείδειν ἐγκελευσάμενος, ἐπέῤῥωσε τῇ βοῇ τὴν πολιορκίαν, ἐκθύμως ἐπ' ὄψεσι βασιλέως ἁπάντων διαγωνιζόμενον, καὶ τιμὰς ἀναλόγους τοῖς πόνοις τὸ παραυτίκα πρὸς αὐτοῦ προσδοκώντων ἀποίσεσθαι.

ς'. Ῥωμαίων δὲ ἐπιβρισάντων καὶ τοῖς τείχεσι προσπελασάντων τὰς κλίμακας, ἐνταῦθά τις γενναῖος νεανίσκος, ἄρτι πυρσαῖς θριξὶν ἐπιχνοάζων τὴν γένυν, ἐκ τῆς τῶν Ἀνατολικῶν ὁρμώμενος γῆς, ᾧ Θεοδόσιος ὄνομα, Μεσονύκτης ἐπίκλησις, θατέρᾳ μὲν τὸ ξίφος σπασάμενος, τῇ λαιᾷ δὲ τὴν ἀσπίδα ὑπὲρ κεφαλὴν ἀνατείνας, ὡς μὴ βάλλοιτο ἄνωθεν παρὰ τῶν Σκυθῶν, διὰ τῆς κλίμακος ἄνεισιν· ἀγχοῦ δὲ γενόμενος τῆς ἐπάλξεως, καταστοχήσας τοῦ προκύπτοντος Σκύθου καὶ τοῦτον ἀμυνομένου τῷ δόρατι παίει κατὰ τοῦ τένοντος· ἀπαραχθεῖσα δὲ ἡ κεφαλὴ σὺν τῇ κόρυθι ἔξω τειχῶν πρὸς ἔδαφος ἐσφαιρίζετο· Ῥωμαῖοι δὲ τῷ καινῷ τοῦ δράματος ἐπηλάλαξαν, καὶ συχνοὶ τοῦ πρώτως ἀνελθόντος τόλμαν ζηλώσαντες, διὰ τῶν κλιμάκων ἀνέθεον. ὁ δὲ Μεσονύκτης, ἐπεὶ τοῦ τείχους ἐπέβη, καὶ τῆς ἐπάλξεως ἐγκρατὴς ἐγένετο, πλείστους τῶν ἀμυνομένων Ῥῶς ἐπιστροφάδην πλήττων τῶν τειχῶν κατεκρήμνιζε. Θᾶττον δὲ συχνῶν ἑκασταχοῦ τῶν περιβόλων ἀνελθόντων, καὶ παντὶ σθένει τοὺς ἐναντίους ἀποσφαττόντων, τὰς ἐπάλξεις καταλιπόντες οἱ Σκύθαι, ἐς τὴν βασίλειον αὐλὴν, τειχίον ἐχυρὸν κεκτημένην, ἐν ᾗ καὶ ὁ πλοῦτος Μυσοῖς ἐναπέκειτο, ἀκλεῶς συνώσθησαν, πυλίδα μίαν ἠνεῳγμένην παραλιπόντες. ἐν ᾧ δὲ ταῦτα ἐδρᾶτο, ἡ ἔξω τειχῶν ὁρμωμένη τῶν Ῥωμαίων πληθύς, τοὺς θαιροὺς τῶν πυλῶν καὶ μοχλοὺς διακόψασα, καὶ συντρίψασα, ἔνδον εἰσῄει τοῦ ἄστεος, ἀμύθητον φόνον αὐτουργήσασα τῶν Σκυθῶν. τότε δὴ καὶ Βορὴν συλληφθῆναι λέγεται, τῶν Μυσῶν βασιλέα, σὺν γυναικὶ καὶ δυσὶ νηπίοις, οὕτω πυρσοῖς τὴν γένυν περιπυκάζοντα, καὶ προσαχθῆναι τῷ βασιλεῖ· ὁ δέ, τοῦτον δεξάμενος, διὰ τιμῆς ἦγε, κοίρανον Βουλγάρων ἀποκαλῶν, φάσκων τε, ἥκειν Μυσοῖς τιμωρήσων, δεινὰ πεπονθόσι πρὸς τῶν Σκυθῶν.

началствувал над всички), се противопоставяли от зъберите на стените и отблъсквали според силите си нападащите ромеи, като хвърляли отгоре копия, стрели и камъни. А ромеите непрестанно стреляли отдолу с лъкове и каменометни машини, с прашки и копия, като отблъсквали и задържали скитите, и не им позволявали да се подават от зъберите на стените без опасност за живота им. Императорът, като извикал силно, заповядал да прикрепят стълби по околовръстната стена и подкрепил с одобрителни викове обсадата; така всички войници се биели храбро пред очите на императора, като се надявали, че скоро ще получат от него съответна на подвизите си награда.

Ромеите се нахвърлили и приближили стълбите към стените. А един храбър младеж, чиято брада едва била обраснала със златист мъх, по произход от източните области, на име Теодосий Месоникт, изтеглил с едната си ръка меча, а с лявата издигнал щита над главата си, за да не бъде ударен от скитите отгоре, и се покатерил по стълбата. Като стигнал близо до един от зъберите, той се прицелил в един скит, който се подавал от крепостната стена и го отблъсквал с копието си. [Месоникт] ударил скита по врата. Отсечената му глава се търкулнала заедно с шлема на земята вън от стените. При този необикновен подвиг ромеите надали викове и мнозина, като последвали смелостта на първия, който се изкачил, изтичали нагоре по стълбите. А Месоникт, след като се качил на стената и овладял зъбера, нанасял удари наоколо си върху повечето от русите, които се отбранявали, и ги събарял от стените. Мнозина бърже се изкачили от всички страни на стените и с все сила посичали неприятелите. Скитите напускали зъберите и позорно се наблъсквали в царския дворец, ограден с яка стена, където се намирало и съкровището на мизите, като оставили отворена една вратичка. Когато ставало това, войската на ромеите, която настъпвала вън от стените и разбила куките и лостовете на вратите и навлязла в града, като извършвала неописуеми кланета и избиване на скитите. Казват, че тогава бил пленен и Борис[1], царят на мизите, който имал червеникава брада, заедно с жена си и с двете си деца и бил заведен при императора. Той го приел с почести, като го нарекъл „владетел на българите“ и казал, че е дошъл да отмъсти за злините, които мизите са претърпели от скитите.

[1] Българският цар Борис II (969—972), син на Петър.

ζ'. Ῥωμαῖοι δέ, ἅπαξ ἐμπελασθέντες τῷ ἄστει, ἐχώρουν διὰ τῶν στενωπῶν, τοὺς μὲν δυσμενεῖς ἀποκτείνοντες, τὰ δὲ χρήματα διαρπάζοντες. ἡνικαῦτα καὶ τῇ βασιλείῳ αὐλῇ προσέβαλλον, ἐν ᾗ τῆς Ῥωσικῆς πληθύος συνώσθη τὸ μάχιμον. ἀλλ᾿ εὐσθενῶς ἔνδον ἀντικαταστάντες οἱ Σκύθαι τούτους ἀνῄρουν, διὰ τῆς πυλίδος ἐξολισθαίνοντας, καὶ μέχρι τῶν ἑκατὸν καὶ πεντήκοντα ἄνδρας ἀνεῖλον νεανικούς. ὁ δὲ βασιλεὺς τὸ τοιοῦτον σύμπτωμα γνούς, θᾶττον ἐξιππασάμενος, παντὶ σθένει πρὸς τὴν μάχην χωρεῖν τοῖς ἑπομένοις προυτρέπετο· ἐπεὶ δὲ οὐκ εἶχέ τι γενναῖον ἀνύττειν (διὰ γὰρ τῆς ἐστενωμένης πυλίδος τοὺς εἰσιόντας Ταυροσκύθαι δεχόμενοι εὐπετῶς κατειργάζοντο, πλείστους κατασπαθίζοντες), τὴν μὲν πρόσω τῶν Ῥωμαίων ἀλόγιστον ὁρμὴν ἀνεχαίτισε, πῦρ δὲ τῇ αὐλῇ ἑκασταχοῦ διὰ τῶν περιβόλων ἐνιέναι προσέταξε. τῆς δὲ πυρκαϊᾶς σφοδρᾶς ἀναῤῥιπισθείσης, καὶ ἐκτεφρούσης θᾶττον τὰ ὑποκείμενα, τῶν δόμων ὑπεξελθόντες οἱ Ῥῶς, ὑπὲρ τοὺς ἑπτακισχιλίους τυγχάνοντες, ἔς τε τὸ ὕπαιθρον τῆς αὐλαίας συσπειραθέντες, ἀμύνεσθαι τοῖς ἐπιοῦσι παρεσκευάζοντο. τούτοις ὁ βασιλεὺς Βάρδαν Μάγιστρον τὸν Σκληρὸν μετὰ νεανικοῦ συντάγματος ἀντέταξεν· οὓς κυκλωσάμενος τῇ. συνεπομένῃ φάλαγγι τῶν ἀλκιμωτάτων ἀνδρῶν ὁ Σκληρός, ἔργου εἴχετο. καὶ τῆς συμπλοκῆς γενομένης καρτερῶς οἱ Ῥῶς διεμάχοντο, μὴ δόντες νῶτα τοῖς ἐχθροῖς. Ῥωμαῖοι δὲ τῇ σφῶν ἀρετῇ καὶ τῇ τῶν πολέμων πείρᾳ κατηκόντισαν ἅπαντας, πλείστων ὅτι καὶ Μυσῶν κατὰ ταύτην πεσόντων τὴν μάχην· οἵγε συνεπήμυνον Σκύθαις, Ῥωμαίοις δυσμεναίνοντες, ὡς γεγονόσιν αἰτίοις τῆς ὡς αὐτοὺς ἀφίξεως τῶν Σκυθῶν. Σφέγκελος δὲ παρὰ τὸν Ζφενδοσθλάβον ᾤχετο, φυγῇ μετ᾿ ὀλίγων κλέψας τὴν σωτερίαν· αὖθις δὲ ἀνῃρέθη, ὥσγε μοι ἤδη εἰρήσεται. ἀλλ᾿ οὕτω μὲν ἡ Πραισθλάβα, ἐν δυσὶν ἡλίοις ἁλοῦσα, ὑπο Ῥωμαίοις ἐγένετο (p. 129,8—138,4).

Щом навлезли в града, ромеите тръгнали из тесните улици, избивали неприятелите и разграбвали вещите им. Тогава нападнали и царския дворец, гдето било нахълтало ядрото на руската войска. Но отвътре скитите силно се съпротивявали, като избивали тези, които се промъквали през вратичката, и погубили около сто и петдесет храбри войници. Като се научил за това нещастие, императорът бързо пристигнал на коня си и насърчавал своя отред да се впусне с всички сили в боя. Но той не могъл да им помогне в нищо (защото тавроскитите пресрещали тези, които влизали през тясната вратичка и съсичали без мъка по-голямата част от тях). И тъй императорът прекратил безсмисленото нападение на ромеите и заповядал да хвърлят навсякъде през крепостните стени огън в двореца. Когато избухнал силен пожар, който веднага превръщал в пепел всичко наоколо, русите, на брой над седем хиляди, излезли от сградите, събрали се на открито пред вратата на двореца и се приготвили да се бранят срещу нападателите. Императорът изпратил срещу тях магистър Варда Склир с храбър отред. Склир ги заобиколил със своя отред от храбри войници и почнал сражението. В станалото сражение русите се биели упорито и не обръщали гръб на враговете, обаче ромеите благодарение на своята храброст и военна опитност избили всички. В тази битка паднали извънредно много мизи. Те се биели заедно със скитите, изпълнени с гняв към ромеите, които били станали причина за нашествието на скитите в земята им. Свенкел се спасил с бягство заедно с малцина други и отишел при Светослав. Той загинал по-късно, както след малко ще съобщя. И така Преслав, превзет за два дни, паднал под властта на ромеите.

12. De Romanorum cum Thauroscythis pugna

η'. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τὴν στρατιάν, ὡς τὸ εἰκός, φιλοφρονησάμενος, διανέπαυε, καὶ τὴν θείαν ἀνάστασιν τοῦ Σωτῆρος αὐτόθι ἑώρταζεν. ἔκ τε τῶν δορυαλώτων Ταυροσκυθῶν τινας ἀποκρίνας ὡς τὸν Σφενδοσθλάβεν ἐξέπεμπε, τὴν τῆς πόλεως ἅλωσιν ἀπαγγελοῦντας αὐτῷ καὶ τὴν τῶν ἑταίρων ἀναίρεσιν, φράζειν τε, μὴ διαμέλλειν, ἀλλ᾿ αἱρεῖσθαι τὴν ταχίστην δυοῖν θάτερον· ἢ τὰ ὅπλα καταθέσθαι καὶ τοῖς κρείττοσι πειθαρχεῖν, καὶ τῶν τετολμημένων συγγνώμην αἰτεῖν, ἀφιστάμενον ἐξαυτῆς χώρας τῆς τῶν Μυσῶν ἤ, τοῦτο μὴ βουλομένου, ἀλλ᾿ εἰς τὴν σύντροφον αὐθάδειαν ἀποκλίναντος, παντὶ σθένει ἐπιοῦσαν τὴν Ῥωμαϊκὴν ἀμύνεσθαι δύναμιν.

12. Битката между византийци и руси

8 Император Йоан, като възнаградил войниците по обичая си, дал им почивка и отпразнувал там божественото възкресение на Спасителя. Той избрал някои от пленените тавроскити и ги изпратил при Светослав, за да известят за падането на града и за гибелта на неговите другари. Те трябвало също да му кажат да не се бави, но веднага да си избере едно от двете: или да сложи оръжие и да се подчини на по-силните, като иска прошка за дръзките си дела и напусне незабавно страната на мизите; или ако не желае това и следва своята вродена самонадеяност, да се брани с всички сили срещу настъпващата ромейска войска. Императорът

ταῦτα μὲν ἀπαγγέλλειν Σφενδοσθλάβῳ παρήγγειλεν· αὐτὸς δέ, ὀλίγων ἡμερῶν ἐνδιατρίψας τῇ πόλει, καὶ ταύτης τὰ πεπονηκότα ὀχυρωσάμενος, καὶ φρουρὰν ἀποχρῶσαν καταλιπών, Ἰωαννούπολίν τε ταύτην ἐπὶ τῷ ἑαυτοῦ καλέσας ὀνόματι, πανστρατὶ τὴν ἐπὶ τὸ Δορύστολον ἵετο. ὅπερ Κωνσταντῖνος, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος, ἐκ βάθρων ἐδείματο, καὶ εἰς ὃ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος ἤγειρεν, ὁπηνίκα τὸ σταυρικὸν σημεῖον κατηστερισμένον ἐν οὐρανῷ θεασάμενος, Σκύθας δυσμενῶς ἀντιτεταγμένους αὐτῷ καὶ μανικῶς ὁρμῶντας κατεπολέμησε. πάρεργον δὲ τῆς ὁδοῦ τήν τε καλουμένην Πλίσκουβαν καὶ Δίνειαν εἷλεν ὁ βασιλεύς, καὶ συχνὰς τῶν πόλεων, αἳ τῶν Σκυθῶν ἀφηνιάσασαι Ῥωμαίοις προσέθεντο. Σφενδοσθλάβος δέ, τὸ κατὰ τὴν Πραισθλάβαν πάθος γνούς, ἤσχαλλε μὲν καὶ ἤχθετο, οὐκ ἀγαθὸν οἰωνὸν τοῦ μέλλοντος τοῦτο τιθέμενος· τῇ δὲ Σκυθικῇ ἀπονοίᾳ παρακροτούμενος, καὶ ταῖς κατὰ Μυσῶν νίκαις γαυρούμενος, εὐπετῶς ᾤετο καὶ τὴν Ῥωμαϊκὴν καταγωνίσασθαι δύναμιν.

θ'. Ὁρῶν δὲ Μυσοὺς τῆς ἐκείνου μὲν ἑταιρείας ἀφηνιάζοντας, τῷ δὲ βασιλεῖ προσχωροῦντας, πολλὰ γνωσιμαχήσας, καὶ ἀνασκοπήσας, ὡς, εἰ πρὸς Ῥωμαίους οἱ Μυσοὶ ἀποκλίνειαν, οὐκ εἰς καλὸν αὐτῷ τελευτήσει τὰ πράγματα, τοὺς γένει καὶ δυναστείᾳ διαφέροντας συνειλοχὼς τῶν Μυσῶν, εἰς τριακοσίους ἀριθμουμένους, ὠμὸν καὶ ἀπάνθρωπον κατ' αὐτῶν ἐμελέτησε τόλμημα. δειροτομήσας γὰρ πάντας ἀπέκτεινε· τὴν δὲ ἄλλην πληθὺν πεδήσας συνέκλεισεν ἐν εἱρκταῖς. αὐτὸς δὲ τὴν τῶν Ταυροσκυθῶν πανοπλίαν συναγαγών, εἰς ἑξήκοντα χιλιάδας συναγομένην ἀνδρῶν, Ῥωμαίοις ἀντετάξατο. ἐν ᾧ δὲ ὁ βασιλεὺς σχολαιότερον τὴν πρὸς αὐτοὺς ἐπεποίητο ἄφιξιν, τινὲς παραβόλῳ τόλμῃ παρακροτούμενοι τῶν θρασυτέρων, τῆς Ῥωσικῆς ἀποῤῥαγέντες φάλαγγος, ἐς λόχον ἐκάθιζον, καὶ δὴ τῶν προδρόμων τινὰς ἐκ τοῦ ἀφανοῦς ἐπελάσαντες ἔκτειναν. ὧν ὁ αὐτοκράτωρ ἐῤῥιμμένα παρὰ τὴν ἀταρπιτὸν τὰ πτώματα κατιδών, τῷ ῥυτῆρι τὸν ἵππον ἐπισχών, σχετλιάσας τε τὴν τῶν ὁμοεθνῶν ἀπώλειαν, ἀνιχνεύειν τοὺς τοῦτο δεδρακότας ἐκέλευε. τῶν δὲ πεζεταίρων τοὺς δρυμοὺς καὶ τὰς λόχμας καταδραμόντων σπουδῇ, καὶ τοὺς πελάτας ἐκείνους συνειληφότων, εἰς ὄψιν τε πεπεδημένους παραγαγόντων τῷ βασιλεῖ, αὐθωρὸν κατασπαθίζειν τούτους προσέταττεν. οἱ δέ, μηδὲν μελλήσαντες, ξίφεσιν ἄρδην ἐμέλισαν ἅπαντας. ἄρτι δὲ τῶν στρατευμάτων ἐς τὸν πρὸ τοῦ Δορυστόλου χῶρον συνελθόντων, ὃ καὶ Δρίστραν κικλήσκειν εἰώθεσαν, Ταυροσκύθαι μὲν ἔγχεσι

наредил да съобщят това на Светослав, а самият той прекарал няколко дни в града, укрепил пострадалите му части, оставил достатъчно стража, нарекъл го Йоанопол по собственото си име и с цялата войска тръгнал срещу Доростол. Славният между царете Константин[1] издигнал този град от основи и го довел до тази красота и великолепие, в която днес го виждаме. Това станало, когато той съзрял на небето кръстното знамение от звезди и победил скитите, които били нахлули като врагове в страната му. Между другото по пътя императорът превзел така наречената Плиска, Диня[2] и много от градовете, които се отцепили от скитите и минали на страната на ромеите. Светослав, като узнал за нещастието в Преслав, негодувал и се ядосвал, смятайки, че това не е добро предзнаменование за бъдещето. Но тласкан от скитското си безумие и възгордян от победите си над мизите, той мислел, че лесно ще победи и ромейската войска.

Като виждал, че мизите се отцепват от съюза с него и минават на страната на императора, Светослав дълго време размишлявал и съобразил, че ако мизите се присъединят към ромеите, неговите работи не ще свършат добре. Той събрал около триста души мизи, които се отличавали по род и влияние и извършил над тях жестоко и безчовечно деяние, като погубил всички, а много други оковал във вериги и заключил в тъмница. Самият той събрал цялата войска на тавроскитите, на брой около шестдесет хиляди души, и излязъл срещу ромеите. Докато императорът бавно се приближавал към тях, някои по-храбри войници, обзети от прекалено голяма смелост, се откъснали от руската войска, останали в засада и като нападнали из невиделица, убили неколцина [ромеи] от авангарда. Императорът, като видял нахвърлените край пътеката трупове, дръпнал юздите на коня си и нажален от смъртта на своите сънародници, заповядал да издирят тези, които били сторили това. Пехотинците старателно обходили дъбравите и храсталаците, заловили нападателите и вързани ги довели пред очите на императора. Той заповядал веднага да ги избият и те, без да се бавят, ги съсекли до един с мечовете си. Когато войските се събрали на полето пред Доростол, наричан обикновено и Дръстър, тавроскитите добли-

[1] Лъв Дякон греши, като смята, че Доростол (дн. Силистра) е основан от Константин Велики. Този град е възникнал като войнишко селище при лагера на XI Клавдиев легион още във времето на император Траян (98—117). Срв. *Я. Тодоров*, Durostorum — Принос към античната история на Силистра, Сборник Силистра и Добруджа, София, 1927, стр. 3—58. [2] Гр. Динея не е известен от други извори. *В. Аврамов*, Юбилеен сборник Плиска—Преслав, София, 1929, ч. I, стр. 235, го локализира в долината на р. Камчия между селата Кълново и Янково.

καὶ θυρεοῖς τὰς φάλαγγας πυκνώσαντες, καὶ οἷον πυργώσαντες τοὺς δυσμενεῖς παρὰ τὸ μεταίχμιον ἔμενον. Ῥωμαίους δὲ κατὰ μέτωπον ἀντιτάξας ὁ βασιλεύς, καὶ τοὺς πανσιδήρους ἱππότας κατὰ θάτερον κέρας παραστησάμενος, τούς τε τοξότας καὶ σφενδονήτας ἐξόπισθεν ἐπιστήσας, καὶ θαμινὰ βάλλειν ἐγκελευσάμενος, ἐπῆγε τὴν φάλαγγα. ι'. Τῶν δὲ στρατοπέδων εἰς χεῖρας ἀλλήλοις συναραχθέντων, καὶ σφοδρᾶς τῆς μάχης καταῤῥαγείσης, ἰσοπαλὴς παρὰ τὰς πρώτας προσβολὰς ὁ ἀγὼν τέως ἐν ἀμφοτέροις ἐγίνετο. Ῥῶς μὲν γὰρ δεινόν που καὶ σχέτλιον τιθέμενοι, εἰ δόξαν παρὰ τῶν προσοίκων ἐθνῶν ἔχοντες, ἐν ταῖς μάχαις ἀεὶ τῶν ἀντιπάλων κρατεῖν, νῦν ὑπὸ Ῥωμαίων αἰσχρῶς ἡττηθέντες ταύτης ἐκπέσοιεν, ἐκθύμως διηγωνίζοντο. Ῥωμαίοις δὲ αἰδώς τις εἰσῄει καὶ νέμεσις, εἰ τὸ ἀντίξουν ἅπαν ὅπλοις καὶ τῇ σφῶν ἀρετῇ καταστρεφόμενοι, νῦν ἀπέλθοιεν, παρὰ πεζομαχοῦντος ἔθνους, ἱππάζεσθαι μηδόλως εἰδότος, καταγωνισθέντες, ὥς τινες ἔργων μάχης ἀνάσκητοι, καὶ τοσοῦτον αὐτοῖς ἐν ἀκαρεῖ κλέος οἰχήσεται. τὰς τοιαύτας δὴ δόξας παρ᾿ ἑαυτοῖς ἐντρέφοντα τὰ στρατεύματα θαῤῥαλέως διηγωνίζοντο. καὶ Ῥῶς μεν τῇ συντρόφῳ θηριωδίᾳ καὶ τῷ θυμῷ στρατηγούμενοι, μετὰ ῥύμης κατὰ Ῥωμαίων ἐφήλλοντο, οἷον ἐνθουσιῶντες καὶ βρυχώμενοι· Ῥωμαῖοι δὲ μετ᾿ ἐμπειρίας καὶ τεχνικῆς ἐπιστήμης αὐτοῖς ἀντεπῄεσαν. καὶ συχνοὶ παρ᾿ ἀμφοτέρων ἔπιπτον τῶν μερῶν, καὶ μέχρι μὲν δείλης βαθείας ἀμφιτάλαντος ἡ νίκη ἐδόκει, τῇδε κἀκεῖσε μεταφερομένης τῆς μάχης. ἤδη δὲ τοῦ φωσφόρου καταφερομένου πρὸς δυσμάς, τὴν ἵππον ὁ βασιλεὺς ἀνὰ κράτος αὐτοῖς ἐπιῤῥάξας, ἐμβοήσας τε, Ῥωμαίους ὄντας ἐπὶ τῶν ἔργων τὴν σφῶν ἀρετὴν ἐπιδείκνυσθαι, τῶν ἀνδρῶν ἐπέῤῥωσε τὰ φρονήματα. ἐπέβρισαν γὰρ ἐκτόπῳ φορᾷ, καὶ οἱ σαλπιγκταὶ τὸ ἐνυάλιον ἐπηλάλαξαν, καὶ βοή τις ἀθρόα παρὰ Ῥωμαίων ἤρθη. Σκύθαι δέ, τὴν τούτων οὐκ ἐνεγκόντες ῥοπήν, ἐς φυγὴν ἔκλιναν καὶ πρὸς τὸ τεῖχος συνώσθησαν, πολλοὺς τῶν σφετέρων παρὰ ταύτην ἀποβαλόντες τὴν μάχην. Ῥωμαῖοι δέ, τὰ ἐπινίκια παιωνίσαντες, ἐν εὐφημίαις εἶχον τὸν αὐτοκράτορα· ὁ δὲ ἀξιωμάτων τότε διανομαῖς καὶ δεξιώσεσιν ἑστιάσεων ἐφιλοφρονεῖτο τούτους, καὶ προθυμοτέρους ἐπὶ τὰς μάχας εἰργάζετο.

IX'. α'. Ἄρτι δὲ ἡμέρας διαυγαζούσης, ἐρυμνῷ χάρακι τοῦτον τὸν τρόπον ὁ βασιλεὺς τὸ στρατόπεδον ἐκρατύνετο. γεώλοφός τις χαμαίζηλος τοῦ Δορυστόλου ἐκ διαστήματος κατὰ τὸ πεδίον ἀνίσταται. ἐν τούτῳ τὸ στράτευμα διασκηνισάμενος, ταφρείαν ἀνορύττειν κυκλόθεν ἐκέλευε· τόν τε χοῦν ἐκφοροῦντας ἐς τὴν τὸ στρατόπεδον ταινιοῦσαν τῆς τάφρου ὀφρῦν ἀποτίθεσθαι, ἐς ὕψος δὲ ἀποχρῶν αἰρομένων τῶν χωμάτων ἄνωθεν καταπηγνύειν τὰ δόρατα, ἐπερείδειν τε τούτοις τοὺς θυρεοὺς ἀλλήλων ψαυόν-

жили щитовете и копията в своите редици и като крепостна стена чакали неприятелите на бойното поле. Императорът построил ромеите срещу тях. На двете крила били поставени конниците, облечени изцяло в железни ризници, а отзад стрелците и прашниците. Той им заповядал да стрелят непрестанно и повел напред войската си. 10. Когато войските се срещнали в ръкопашен бой и се завързало ожесточено сражение, при първите схватки известно време никоя от страните нямала надмощие в борбата. Русите, които се славели пред съседните племена, че винаги побеждават в битките противниците си, смятали, че ще бъде ужасно и позорно, ако сега срамно победени загубят тази си слава. Затова се биели храбро. Ромеите пък, които покорявали всичките си противници с оръжието и храбростта си, изпитвали срам и ужас да не би да бъдат надвити като някои неопитни във военното дело хора от един пешеходен народ, който никак не умеел да язди на кон, и че в миг може да отлети толкова голямата им слава. Обхванати от подобни чувства, и двете войски се сражавали храбро. Русите, водени от вродената си свирепост и ярост, стремително се нахвърляли върху ромеите, ревейки като бесни; ромеите ги посрещнали с опитност и познаване на военната тактика. Мнозина падали и от двете страни и до късна вечер победата изглеждала колеблива, като клоняла ту към едните, ту към другите. Но когато лъчезарното слънце почнало да клони към заник, императорът хвърлил с все сила срещу русите конницата и като извикал: „Вие, които сте ромеи, докажете на дело своята храброст" — повдигнал духа на войниците. Те се нахвърлили с необикновен устрем, тръбачите засвирили за настъпление и дружен вик се понесъл от ромеите. Скитите не могли да удържат техния напор, ударили на бягство и нахълтали в крепостта. При тази битка те загубили много от своите хора. Ромеите пък запели победни химни и славели императора, който ги награждавал с раздаване на чинове и с угощения и така ги правел още по-пламенни в сраженията.

Щом се зазорило, императорът укрепил стана със здрав окоп по следния начин: на известно разстояние от Доростол на полето има един нисък хълм, на който настанил войската; заповядал да изкопаят наоколо един ров и изкопаната пръст да слагат на тази страна на рова, която загражда стана, а след като насипът се издигне на достатъчна височина, да набият отгоре копия и да поставят върху тях дълги щитове, съе-

τας. ὡς ἀντὶ τείχους χρηματίζειν τήν τε τάφρον καὶ τὸν ἐκφορηθέντα χοῦν τῷ στρατεύματι· καὶ μὴ ἐνὸν εἴη τοῖς ἐναντίοις ἔνδον διαβαίνειν, ἀλλ᾽εἴργεσθαι τῆς ἐφόδου τῇ τάφρῳ ἐγχρίπτουσιν. εἰθισμένον δὲ Ῥωμαίοις, ταύτῃ τὴν σφῶν ἐπὶ τῆς πολεμίας διατίθεσθαι ἔπαυλιν. ἐπεὶ δὲ τὸν χάρακα τοῦτον τὸν τρόπον ἐκρατύνατο, τῇ ἐπιούσῃ ἐκτάξας τὴν στρατιὰν τῷ τείχει προσέβαλλε. Σκύθαι δέ, τῶν πύργων προκύπτοντες, βέλη καὶ χαρμάδας, καὶ ὅσα ἐκηβόλα πέφυκεν ὄργανα, κατὰ τῆς Ῥωμαικῆς ἠφίεσαν φάλαγγος. οἱ δὲ καὶ αὐτοὶ σφενδόναις καὶ βέλεσι Σκύθας ἠμύναντο κάτωθεν. καὶ μέχρι τῶν τοιούτων ἀκροβολισμῶν ἀμφοτέροις ἡ μάχη περιίστατο, καὶ Ῥωμαῖοι μὲν ἐπὶ τὸν χάρακα ᾔεσαν, καὶ δεῖπνον εἵλοντο· Σκύθαι δέ, κλινούσης ἡμέρας, ἔφιπποι τοῦ περιβόλου ἐξῄεσαν, τότε πρώτως φανέντες ἐφ᾽ἵππων ὀχούμενοι. ἄφιπποι γὰρ παρὰ τοὺς πολέμους ἀεὶ χωρεῖν εἰώθεισαν, ἀνασκήτως ἔχοντες τῶν ἐφιππίων ἐπιβαίνειν, καὶ τοῖς πολεμίοις ἀνταγωνίζεσθαι. Ῥωμαῖοι δέ, σπουδῇ τοῖς ὅπλοις φραξάμενοι καὶ τῶν ἵππων ἐπιβάντες, τούς τε κοντοὺς ἀνειληφότες (ἐπιμήκεις δὲ τούτους παρὰ τὰς μάχας μεταχειρίζονται), μετὰ ῥύμης καὶ βιαίου ὠθισμοῦ αὐτοῖς ἐπελαύνουσιν. οἱ δέ, μηδὲ τοῖς ῥυτῆρσι τοὺς ἵππους χαλιναγωγεῖν ἐπιστάμενοι, πρὸς τῶν Ῥωμαίων κατακοντιζόμενοι, νῶτα δόντες εἰς τὸ τεῖχος κατεκλείοντο.

β΄. Τηνικαῦτα δὴ καὶ αἱ τῶν Ῥωμαίων πυρφόροι τριήρεις μετὰ τῶν σιτηγῶν πορθμείων διὰ τοῦ Ἴστρου ἐφάνησαν ἀναπλέουσαι· ἃς Ῥωμαῖοι μὲν ἰδόντες ἀῤῥήτου χαρμονῆς ὑπεπλήσθησαν, Σκύθας δὲ δέος ᾕρει, τὸ ἐπιφερόμενον αὐτοῖς ὑγρὸν πῦρ δεδιότας. ἠκηκόεισαν γὰρ πρὸς τῶν γεραιτέρων τοῦ σφῶν ἔθνους, ὡς τὸν μυριόστολον στρατὸν Ἴγγορος, τοῦ τὸν Σφενδοσθλάβον τεκόντος, Ῥωμαῖοι τῷ τοιούτῳ Μηδικῷ πυρὶ κατὰ τὸν Εὔξεινον ἐξετέφρωσαν. ἐντεῦθεν σπουδῇ τὰ ἑαυτῶν συναγαγόντες ἀκάτια, πρὸ τοῦ περιβόλου τοῦ ἄστεος εἵλκυσαν, ἵνα παραῤῥέων ὁ Ἴστρος τὸ θάτερον τοῦ Δορυστόλου περικλύζει πλευρόν. ταῦτα αἱ πυρφόροι νῆες κυκλόθεν ἐφρούρουν, ὡς μὴ εἴη Σκύθαις ἐνόν, αὐτῶν ἐπιβεβηκόσιν, ἐπὶ τὴν σφῶν ἀνασώζεσθαι γῆν. τῇ δὲ ὑστεραίᾳ Ταυροσκύθαι, τοῦ ἄστεος ὑπεκδύντες, κατὰ τὸ πεδίον ἐτάξαντο, ποδηνεκεῖς θυρεοὺς προβαλλόμενοι καὶ θώρακας ἁλυσιδωτούς. Ῥωμαῖοι δὲ καὶ αὐτοὶ τοῦ χάρακος ὑπεξῄεσαν ἐς τὸ ἀκριβὲς τεθωρακισμένοι· καὶ καρτερῶς ἄμφω τὰ μέρη διηγωνίζοντο, καὶ ἀμφιδόξος ἡ νίκη ἐδόκει, ἄλλοτε θατέρου μέρους ὠθοῦντος. ἐπεὶ δέ τις Ῥωμαίων τῆς φάλαγγος ἀποῤῥαγεὶς τὸν μετὰ Σφενδοσθλάβον τρίτον παρὰ Ταυροσκύθαις τιμώμενον Σφέγκελον, ἐκθύμως τότε διαγωνιζόμενον, κατηκόντισεν, ἄνδρα γιγαντώδη καὶ νεανικόν· ἐπὶ τῷ τούτου πτώματι διαταραχθέντες Ταυροσκύθαι βάδην τοῦ πεδίου

динени един с други, така че ровът и изкопаният насип да служат като укрепление за войската. Неприятелите не биха могли да проникнат вътре, но нападението им щяло да бъде спряно, като се натъкнат на окопа. Ромеите обикновено по този начин разполагат своя стан в неприятелска страна. След като укрепил така стана, на другия ден извел войската в строй и нападнал крепостта. Скитите, като надзъртали из кулите, мятали срещу ромейските редици стрели, камъни и всякакви други предмети, които могат да се хвърлят. А и (ромеите) отдолу се бранели срещу скитите с прашки и стрели. С тази престрелка между двете страни битката се завършила, ромеите се върнали в стана си и започнали да се хранят. Скитите пък привечер излезли на коне извън градските стени. За пръв път тогава те се появили на коне. Обикновено те отиват пеша на война, понеже не умеят да яздят и на коне да се сражават с неприятеля. Ромеите бързо грабнали оръжието, метнали се на конете, взели копията (те си служат с дълги копия в сраженията), нападнали ги стремително и със силен напор. Скитите, понеже не могли да управляват с юздите конете, пробождани от стрелите на ромеите, обърнали гръб и се заключили в крепостта.

Тъкмо по това време, плувайки в Истър, се показали огненосните триери на ромеите заедно с корабите, които носели храна. Ромеите, като ги видели, се изпълнили с неизказана радост, а скитите били обзети от страх, понеже се боели от донесения срещу тях течен огън. Те били чули от по-стари хора от своето племе, че ромеите с този мидийски огън били изгорили в Евксин многобройната флота на Игор, бащата на Светослав. Затова бързо събрали своите лодки и ги довели пред градската стена, гдето река Истър протича и мие едната страна на Доростол. Огненосните кораби ги обсадили от всички страни, за да не могат скитите да се качат на тях и да се завърнат в страната си. На другия ден тавроскитите, прикрити с дълги до земята щитове и с плетени железни ризници, излезли от града и се строили на полето. Ромеите също напуснали стана добре въоръжени. И двете страни се биели храбро, но победата изглеждала колеблива, понеже надделявали ту едните, ту другите. Но един от ромеите се откъснал от строя и пробол почитания у тавроскитите на трето място след Светослав Свенкел, огромен мъж и смел човек, който в това време юнашки се биел. Тогава, обезпокоени от неговата гибел, тавроскитите почнали бавно да се оттеглят от

ὑπενόστουν καὶ πρὸς τὸ ἄστυ ἠπείγοντο. τηνικαῦτα καὶ Θεόδωρος, ὁ τὴν κατεμωνυμίαν Λαλάκων, ἀνὴρ κατά τε ἀλκὴν καὶ σώματος ῥώμην δυσάντητος καὶ ἀκαταγώνιστος, πλείστους τῶν δυσμενῶν σιδηρῷ κορύνῃ ἀπέκτεινεν. ἰσχύϊ γὰρ χειρὸς ταύτην καταφέρων, αὐτῇ κυνῇ καὶ τὴν ταύτῃ περιστελλομένην συνέθλαττε κεφαλήν. ἀλλ' οὕτω μὲν τότε Σκύθαι, τὰ νῶτα δόντες, διὰ τοῦ ἄστεος ὑπενόστησαν. Ῥωμαίους δὲ ὁ βασιλεύς, τὸ ἀνακλητικὸν ἐπαυλεῖν ἐκκελεύσας, συνεκαλεῖτο ἐπὶ τὸν χάρακα, οὓς δώροις καὶ προπόσεσιν ἐθεράπευε, προθυμοποιῶν, ῥωμαλέως ἐπὶ τοὺς πολέμους χωρεῖν.

ε'. Ἀλλ' οὕτω μὲν τῷ Κουροπαλάτῃ Λέοντι τὰ τῆς τυραννίδος εἰς δεινὸν καὶ ὀλέθριον κατέληξε τέλος. οἱ δὲ Ῥῶς συνασπίσαντες (αὖθις γὰρ ὁ λόγος, ὅθεν ἐξέβη, ἐπάνεισιν), ἐπὶ τὸ πεδίον ἐξῄεσαν, παντὶ σθένει πειρώμενοι, τὰς τῶν Ῥωμαίων πυρπολεῖν μηχανάς. οὐ γὰρ τὰς τούτων μετὰ ῥοίζου ἔστεγον ἐκπεμπομένας βολάς, πλείστων ὁσημέραι ὑπὸ τῶν ἀφιεμένων λίθων ἀναιρουμένων Σκυθῶν. Ἰωάννης δὲ ὁ Κουρκούας καὶ Μάγιστρος, ἐκ γένους προσήκων τῷ βασιλεῖ, τὴν τῶν τοιούτων μηχανημάτων ποιούμενος φυλακήν, τὴν μετὰ θράσους ὁρμὴν τῶν ἐναντίων ἰδών, καὶ ἄλλως οἴνῳ καρηβαρῶν καὶ νευστάζων (μετ' ἄριστον γὰρ ἦν), ἵππου ἐπιβάς, σὺν τοῖς ἑπομένοις λογάσιν ἤλαυνε κατ' αὐτῶν. βόθρῳ δὲ ὁ ἵππος κατενεχθεὶς ἀποβάλλει τῶν νώτων τὸν Μάγιστρον· οἱ δὲ Σκύθαι, ἀριπρεπῆ πανοπλίαν ἰδόντες, καὶ φάλαρα τοῦ ἵππου καὶ τὴν ἄλλην σκευὴν ἐξειργασμένα λαμπρῶς (ἐτύγχανον γὰρ κατακόρως ἀληλιμμένα χρυσῷ), δόξαντες αὐτὸν ἐκεῖνον εἶναι τὸν αὐτοκράτορα, ἀθρόως περιδραμόντες αὐτοῖς ὅπλοις τοῦτον τοῖς ξίφεσι καὶ πελεκέσι κατεμέλισαν ἀπηνῶς· δορατίῳ τε τὴν κεφαλὴν περιπείραντες, ἐπὶ τῶν πύργων κατέπηξαν, Ῥωμαίους τωθάζοντες, ὡς τὸν σφῶν βασιλέα δίκην βοσκήματος κρεουργήσαντες. ἀλλὰ τοιαῦτα μὲν Ἰωάννης ὁ Μάγιστρος ἀπηνέγκατο τὰ ἐπίχειρα, ὧν εἰς τοὺς θείους πεπαρῳνήκει σηκούς, θυμοῦ βαρβαρικοῦ γεγονὼς παρανάλωμα. λέγεται γὰρ πολλοὺς τῶν κατὰ Μυσίαν κεραΐσαι, καὶ τὰ τούτων ἔπιπλα καὶ σκεύη τὰ ἱερὰ εἰς ἰδιωτικὰ μετασκευάσαι κειμήλια.

ς'. Ῥῶς δὲ τῇ τοιαύτῃ νίκῃ κατεπαρθέντες, ἐς τὴν ἐπιοῦσαν τοῦ ἄστεος ὑπεξιόντες, παρὰ τὸ μεταίχμιον ἐτάξαντο· Ῥωμαῖοι δὲ καὶ αὐτοί, ἐς βαθεῖαν συνασπίσαντες φάλαγγα, τούτοις ἀντεπῄεσαν. ἐνταῦθα Ἴκμορα, τὸν μετὰ τον Σφενδοσθλάβον τὸ

бойното поле и се отправили към града. В същото сражение и Теодор, по прякор Лалак, мъж страшен и непобедим по смелост и телесна сила, избил с железния си боздуган много от враговете. Със силната си ръка той така го стоварвал, че смазвал самия шлем и покритата от него глава. И тъй по такъв начин скитите обърнали гръб и се върнали в града. А императорът дал заповед ромеите да свирят за отбой и свикал войниците в стана, където ги възнаграждавал с подаръци и угощения, поощрявайки ги смело да отиват в сраженията

И така опитът на Лъв Куропалат да заграби властта завършил със страшен и нещастен край. А русите, като се построили (нашият разказ пак се връща там, отгдето се отклони), излезли на полето и се опитвали с всички сили да опожарят ромейските съоръжения. Те не могли да издържат съскащите стрели и всеки ден много скити загивали от хвърляните камъни. Магистър Йоан Куркуа, родственик на императора, охранявал тези съоръжения. Като видял смелото настъпление на неприятелите, въпреки че главата му тежала от виното и му се спяло (това било след обяд), качил се на кон и последван от избрани войници, се спуснал срещу тях. Но конят хлътнал в един ров и свалил магистъра от гърба си. А скитите, като видели блестящото му въоръжение, украшенията на юздите на коня му и цялата сбруя, които били великолепно изработени и богато украсени със злато, помислили, че той е самият император. Те веднага го заобиколили с оръжията си и го насекли безпощадно с мечовете и брадвите си. След това набучили главата му на копие и я забили на стените, надсмивайки се над ромеите, че заклали като добиче техния император. Така магистър Йоан, като станал жертва на варварската ярост, получил това възмездие за своите кощунства в божиите храмове. Казват, че той разорил много храмове в Мизия и си присвоил техните одежди и утвари[1].

Възгордени от тази победа, русите на следния ден излезли от града и се построили в боен ред. Ромеите също се построили в дълбоки колони и се отправили срещу тях. Тогава Анемас, един от императорските телохранители, син на управителя на Крит, видял, че Икмор, вожд на скитската войска след Светослав и почитан на второ място

[1] Твърде характерно е обстоятелството, че византийците подхвърлили на огън и меч не само българската столица, но разрушили и разграбили българските църкви, докато езичниците руси ги пощадили и не посегнали на богатствата им. Срв. *Мутафчиев*, Русско-болгарские отношения, стр. 80.

Σκυθικὸν ἄγοντα στράτευμα καὶ τιμώμενον εὐθὺς μετ᾽ἐκεῖνον, ἄνδρα γιγαντώδη καὶ νεανικόν, ἰδὼν Ἀνεμᾶς, ὁ τῶν βασιλικῶν σωματοφυλάκων εἷς, καὶ τοῦ τῶν Κρητῶν υἱὸς ἀρχηγοῦ, ἐνθουσιωδῶς ἐφορμοῦντα μετὰ τῆς τῶν ἐφεπομένων πεζεταίρων φάλαγγος καὶ πλείστους Ῥωμαίων ἀποκτιννύοντα, ἀλκῇ τε φύσεως ἐπαρθείς, τὸ παρῃωρημένον ξίφος ἑλκύσας, καὶ τὸν ἵππον τῇδε κἀκεῖσε παρεξελάσας, τοῖς τε μύωψι καταικίσας, κατὰ τοῦ Ἴκμορος ἵεται, καὶ τοῦτον κατειληφὼς πλήττει κατὰ τοῦ τένοντος· ἡ δὲ τοῦ Σκύθου κεφαλὴ σὺν τῇ δεξιᾷ ἐκτμηθεῖσα χειρὶ πρὸς τοὔδαφος ἀπηράττετο. τοῦ δὲ πεσόντος, βόη τις παρὰ τῶν Σκυθῶν οἰμωγῇ αἴρεται· Ῥωμαῖοι δὲ τούτοις ἐπέδραμον. οἱ δὲ οὐκ ἤνεγκαν τὴν τῶν ἐναντίων ῥοπήν, ἀλλὰ τὸ τοῦ σφῶν στρατηγοῦ πάθει ἐκτόπως περιαλγήσαντες, τὰ σάκη κατωμαδὸν ἄραντες, ἐχώρουν διὰ τοῦ ἄστεος, οὓς ἐπισπόμενοι Ῥωμαῖοι ἀπέκτεινον. ἤδη δὲ νυκτὸς κατασχούσης, καὶ τῆς μήνης πλησιφαοῦς οὔσης, κατὰ τὸ πεδίον ἐξελθόντες τοὺς σφετέρους ἀνεψηλάφων νεκρούς· οὓς καὶ συναλίσαντες προ τοῦ περιβόλου καὶ πυρὰς θαμινὰς διανάψαντες, κατέκαυσαν, πλείστους τῶν αἰχμαλώτων, ἄνδρας καὶ γύναια, ἐπ᾽ αὐτοῖς κατὰ τὸν πάτριον νόμον ἐναποσφάξαντες. ἐναγισμούς τε πεποιηκότες, ἐπὶ τὸν Ἴστρον ὑπομάζια βρέφη καὶ ἀλεκτρυόνας ἀπέπνιξαν, τῷ ῥοθίῳ τοῦ ποταμοῦ ταῦτα καταποντώσαντες. λέγεται γὰρ Ἑλληνικοῖς ὀργίοις κατόχους ὄντας, τὸν Ἑλληνικὸν τρόπον θυσίας καὶ χοὰς τοῖς ἀποιχομένοις τελεῖν, εἴτε πρὸς Ἀναχάρσεως ταῦτα καὶ Ζαμόλξιδος, τῶν σφετέρων φιλοσόφων, μυηθέντες, εἴτε καὶ πρὸς τῶν τοῦ Ἀχιλλέως ἑταίρων. Ἀῤῥιανὸς γὰρ φησιν ἐν τῷ Περίπλῳ, Σκύθην Ἀχιλλέα τὸν Πηλέως πεφηνέναι, ἐκ τῆς Μυρμηκιῶνος καλουμένης πολίχνης, παρὰ τὴν Μαιῶτιν λίμνην κειμένης· ἀπελαθέντα δὲ πρὸς τῶν Σκυθῶν διὰ τὸ ἀπηνές, ὠμόν, καὶ αὔθαδες τοῦ φρονήματος, αὖθις Θετταλίαν οἰκῆσαι. τεκμήρια τοῦ λόγου σαφῆ ἥ, τε τῆς ἀμπεχόνης σὺν τῇ πόρπῃ σκευή, καὶ ἡ πεζομαχία, καὶ ἡ πυρσὴ κόμη, καὶ οἱ γλαυκιῶντες οφθαλμοί, καὶ τὸ ἀπονενοημένον, καὶ θυμοειδές, καὶ ὠμόν· ἃ καὶ ὀνειδίζων Ἀγαμέμνων ἐπεσκώπτεν, οὑτωσὶ λέγων·

„Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.“

φόνῳ γὰρ εἰσέτι καὶ αἵματι τὰ νείκη Ταυροσκύθαι διακρίνειν εἰώθασιν. ὅτι δὲ τὸ ἔθνος ἀπονενοημένον, καὶ μάχιμον, καὶ κραταιόν, πᾶσι τοῖς ὁμόροις ἐπιτιθέμενον ἔθνεσι, μαρτυροῦσι πολλοί, καὶ ὁ θεῖος

след него, великан и смел борец, напада стремително със своя пехотен отред и избива много ромеи. Увлечен от своята природна смелост, той изтеглил меча, който висял на бедрото му, препуснал няколко пъти с коня си на различни страни, пришпорил го и се спуснал срещу Икмор, настигнал го и му нанесъл удар по врата. Главата на скита, отсечена заедно с дясната му ръка, се търкулнала на земята. Когато Икмор паднал, скитите надали викове и стенания, а ромеите връхлетели върху тях. Скитите не издържали напора на противниците. Съкрушени напълно от загубата на военачалника си, те нарамили своите щитове и се оттеглили в града, преследвани и избивани от ромеите. Когато настъпила нощта, при пълнолуние, те излезли на полето и потърсили своите мъртъвци. Събрали ги накуп пред градските стени, запалили много клади и ги изгорили. Според родния си обичай те заклали над труповете и много пленници — мъже и жени. Извършвайки погребалните обреди, те удавили в Истър деца бозайничета и петли, като ги потопили във вълните на реката. Казват, че те се придържат към елинските обреди и извършват по елински обичаи и жертвоприношения и възлияния за умрелите, посветени в тези неща било от своите философи Анахарзис[1] и Залмоксис[2], било от другарите на Ахила. Ариан[3] казва в своята „Обиколка“, че Ахил Пелеев бил скит от градчето Мирмикион[4], което се намира на Меотийското езеро. Той бил изгонен от скитите заради своята жестокост, свирепост и надменния си дух и след това се поселил в Тесалия. Явно доказателство за това твърдение е облеклото му — прехванат с фибула плащ, а също и навикът да се сражава пеша, русата му коса, светлите очи, безумието, избухливостта и жестокостта му, за което Агамемнон го изобличава и му се надсмива със следните думи:

„Теб все е мила враждата, войните и крамолите“.[5]

Тавроскитите и досега още обикновено решават споровете си с кървави убийства. Мнозина свидетелствуват, че този народ е безумно смел, воинствен, силен и че напада всички съседни племена. Така мисли и бо-

---

[1] Анахарзис — скит, който по времето на Солон посетил Атина и други гръцки градове. Той бил причислен към седемте мъдреци. Приписват му много сентенции, някои от които имат по-късен произход. [2] Замолксис или Залмоксис бил роб на Питагор. След като бил освободен от него, той обходил Гърция, Египет и Мала Азия. Оттам отишъл при готите, от които бил почитан като бог след смъртта си. [3] Флавий Ариан — гръцки историк, живял през II в. сл. н. е. Най-известното му съчинение е „Периплус“ — обиколка на Черно море. [4] Този град се намирал на източния бряг на Кимерийския Босфор, а не на самото Меотийско езеро (дн. Азовско море), както казва Лъв Дякон. Изглежда, че тук Лъв Дякон смесва скитите с готите. [5] Илиада, I, 177.

δὲ Ἰεζεκιὴλ, μνήμην τούτου ποιούμενος, ἐν οἷς ταῦτά φησιν· „Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σέ τὸν Γὼγ καὶ Μαγώγ, ἄρχοντα Ῥῶς.“ Ἀλλ' ἀπόχρη μὲν ταῦτα περὶ τῶν Ταύρων ἐναγισμῶν.

ζ'. Τότε δὲ ἤδη διανισχούσης ἡμέρας βουλὴν ὁ Σφενδοσθλάβος τῶν ἀρίστων ἐκάθιζεν, ἣν καὶ κομέντον τῇ σφετέρῳ διαλέκτῳ φασίν. ἄρτι δὲ συναθροισθέντων περὶ αὐτόν, καὶ ὅ, τι δεῖ καὶ δρᾶν πρὸς αὐτοῦ διερωτηθέντων, οἱ μὲν ἀωρὶ συνεβούλευον τῶν νυκτῶν, ἐπιβάντες τῶν πλοίων, πάσῃ μηχανῇ κλέψαι τὴν φυγήν· μὴ γὰρ οἵους τε καθεστάναι ἱππόταις πανσιδήροις ἀνδράσι συμπλέκεσθαι, ἀποβαλόντας καὶ ταῦτα τοὺς πρωταγωνιστάς, ἐφ' ὧν τὸ στρατόπεδον ἀνεῤῥώννυτο, καὶ οἱ θυμοὶ τῶν ἀνδρῶν παρεθήγοντο. οἱ δὲ τοὔμπαλιν δεξιὰς ἐμβάλλειν Ῥωμαίοις ἐξυνεβούλευον, καὶ πίστεις λαμβάνειν, καὶ οὕτω διασώζειν τὴν περιλειφθεῖσαν στρατιάν. οὐδὲ γὰρ ἔχειν εὐχερῶς, κλέψαι τὸν ἀπόπλουν, τῶν πυρφόρων νεῶν παρὰ τοῦ Ἴστρου ἄνδρα ἑκατέρωθεν φρουρουσῶν τὰ πορθμεῖα, ὡς, ἡνίκα πειραθεῖεν ἐκπλεῦσαι τὸν ποταμόν, πυρπολήσειν ἐξαυτῆς ἅπαντα. ὁ δὲ Σφενδοσθλάβος, μύχιον καὶ πικρὸν ἀνοιμώξας, „οἴχεται τὸ κλέος,“ ἔφη, „ὃ τῇ Ῥωσικῇ πανοπλίᾳ συνείπετο, τὰ πρόσοικα καταστρεφομένῃ ἔθνη ἀπονητί, καὶ χώρας ὅλας ἀνδραποδιζομένῃ ἀναιμωτί, εἰ νῦν ἀκλεῶς Ῥωμαίοις ὑπείξομεν. ἀλλὰ γάρ, τὴν ἐκ προγόνων ἀνειληφότες ἀρετήν, ἀναλογισάμενοί τε, ὡς ἀκαταγώνιστος ἡ Ῥωσικὴ μέχρι καὶ τήμερον καθέστηκεν ἀλκή, ἐκθύμως ὑπὲρ τῆς σφῶν σωτηρίας διαγωνισώμεθα. οὐδὲ γὰρ ἔθιμον ἡμῖν φεύγουσιν ἐς τὴν πατρίδα φοιτᾶν, ἀλλ' ἢ νικῶντας ζῆν, ἢ εὐκλεῶς τελευτᾶν, ἔργα ἐπιδεδειγμένους γενναίων ἀνδρῶν.“ τοσαῦτα μὲν ὁ Σφενδοσθλάβος ἐβούλευσεν.

η'. Λεγεται δὲ καὶ τοῦτο περὶ Ταυροσκυθῶν, μήποτε μέχρι καὶ νῦν ἑαυτοὺς ἐγχειρίζειν τοῖς δυσμενέσιν ἡττομένους· ἀλλ' ἤδη τῆς σωτηρίας ἀπαγορεύσαντας ὠθεῖν τε κατὰ τῶν σπλάγχνων τὰ ξίφη, καὶ οὕτως ἑαυτοὺς ἀναιρεῖν. τοῦτο δὲ πράττουσι, δόξαν κεκτημένοι τοιαύτην· φασὶ γὰρ τοὺς πρὸς τῶ ἐναντίων κατακτεινομένους ἐν τοῖς πολέμοις, μετὰ τὸν μόρον καὶ τὴν ἐκ τῶν σωμάτων διάζευξιν τῶν ψυχῶν ἐν ᾅδου τοῖς αὐθένταις ὑπηρετεῖν. Ταυροσκύθαι δέ, τὴν τοιαύτην δεδιότες λατρείαν, ἀποστυγοῦντες δὲ καὶ τοῖς ἀναιροῦσιν αὐτοὺς ἐξυπηρετεῖν, τῆς ἑαυτῶν σφαγῆς αὐτόχειρες γίνονται. ἀλλὰ

жественият Иезекиил, който го споменава със следните думи:

„Ето аз водя при тебе Гог и Магог, предводителя на русите.“[1] Но стига толкова за погребалните обреди на скитите.

Когато се разсъмнало, Светослав свикал съвет от знатните, наричан на техния език „комент“[2]. Щом се събрали при него, той ги запитал какво трябва да правят. Някои от тях предложили да се качат посред нощ на корабите си и по всякакъв начин да избягат, защото не били вече в състояние да се борят с облечените в железни ризници конници, и то след като загубили първите си борци, които крепели войската и повдигали духа на войниците. Други пък, напротив, съветвали да се помирят с ромеите и като получат уверение за безопасност, да спасят по този начин останалата войска. Наистина нямало да бъде лесно да отплуват тайно, понеже огненосни кораби край бреговете на Истър от всички страни пазели местата за преминаване. Ако те биха се опитали да преплуват реката, то веднага биха опустошили всичко с огъня си. Тогава Светослав въздъхнал дълбоко, продумал с горчевина: „Загива славата, спътница на руското оръжие, което лесно побеждаваше околните народи и без кръв заробваше цели страни, ако сега безславно отстъпим на ромеите. Но като си припомним храбростта на нашите прадеди и като си помислим, че руската сила е останала и до днес непобедима, нека храбро да се впуснем в бой, за да спасим живота си. Ние наистина нямаме обичай да се връщаме като бегълци в родината си, но [сме свикнали] или да живеем като победители, или славно да загиваме, след като извършим подвизи, достойни за благородни мъже.“ Така ги съветвал Светослав.

За тавроскитите разказват и следното: Те и досега, ако бъдат победени, не се предават на враговете си, но след като загубят всяка надежда за спасение, забиват меча в сърцето си и по този начин се самоубиват. Те постъпват така, понеже вярват, че убитите във войната от своите неприятели след смъртта си и след отделянето на душата от тялото слугуват в ада на своите убийци. Тъй като тавроскитите се боят от подобно робуване и не могат да се помирят с мисълта да бъдат слуги на своите убийци, сами слагат край на живота си. Такова вярване е в сила

[1] Вж. Йезек. 39. [2] Думата *κομέντον* е византийска заемка от латинското conventum — събрание. Срв. *Moravcsik*, Byzantinoturcica, II, p. 163. — *Jdem*, Acta Antiqua Academiae Scientiarum Hungaricae I (1951), p. 227—233. — *Д. Ангелов — М. Андреев*, История на българската държава и право, София 1955, стр. 68. — *В. Тъпкова-Заимова*: Български език, 7 (1957), стр. 194 и сл.

τοιαύτη μὲν ἡ ἐπικρατήσασα ἐν αὐτοῖς δόξα. τότε δέ, τῶν τοῦ ἄρχοντος λόγων ἀκούσαντες, φιλοψυχότατα τὸν ὑπὲρ τῆς σφῶν σωτηρίας αἱρεῖσθαι κίνδυνον κατετίθεντο, ἐκθύμως τε πρὸς τὴν Ῥωμαϊκὴν ἀντιτάξασθαι δύναμιν. τῇ γοῦν ὑστεραίᾳ (ἕκτη δὲ ἦν τῆς ἑβδομάδος ἡμέρα, καὶ εἰκάδα τετάρτην ἤλαυνεν ὁ Ἰούλιος μήν), περὶ καταφορὰν ὄντος ἡλίου, πανσυδὶ τῆς πόλεως ἐξελθόντες οἱ Ταυροσκύθαι, παντὶ σθένει διακινδυνεύειν ἠρούντο, εἰς φάλαγγα καρτερὰν συνασπίσαντες, καὶ προβαλόντες τοὺς ἄκοντας. Ῥωμαίους δὲ διατάξας ὁ βασιλεὺς ὑπεξῆγε τοῦ χάρακος. ἤδη δὲ τῆς μάχης καταῤῥαγείσης, εὐρώστως οἱ Σκύθαι Ῥωμαίοις ἐπήεσαν, τοῖς τε ἀκοντίοις σινόμενοι, καὶ τοῖς βέλεσι τοὺς ἵππους τιτρώσκοντες, καὶ τοὺς ἐπιβάτας εἰς γῆν καταβάλλοντες. ἐνταῦθα ὁ τῇ προτεραίᾳ ἠριστευκὼς Ἀνεμᾶς καὶ τὸν Ἴκμορον κατακτείνας, τὸν Σφενδοσθλάβον ἰδὼν ἐνθουσιωδῶς κατὰ Ῥωμαίων ὁρμῶντα καὶ μανικῶς, καὶ τὰς αὐτοῦ ἐπιρρωννύοντα φάλαγγας, τὸν ἵππον παρεξηλάσας (εἰθισμένον δὲ ἦν αὐτῷ τοῦτο δρᾷν, καὶ πλείστους τῶν Σκυθῶν τοιούτῳ τρόπῳ ἀνεῖλε τὸ πρότερον), ὅλην ἡνίαν τῷ ἵππῳ ἀνεὶς ὡς αὐτὸν ἵεται, καὶ ξίφει παίει κατὰ τῆς κλειδός, καὶ τὸν μὲν πρηνῆ καταβάλλει, οὐ μὴν κατακτείνει. ἐπήρκεσε γὰρ ὁ ἁλυσιδωτὸς χιτὼν καὶ τὸ σάκος ἃ, δεδιὼς τὰς Ῥωμαϊκὰς αἰχμάς, ἠμφιέννυτο. Ἀνεμᾶς δε, πρὸς τῆς τῶν Σκυθῶν κυκλωθεὶς φάλαγγος, τοῦ ἵππου καταβληθέντος συχναῖς τῶν δοράτων βολαῖς, πλείστους μὲν ἀναιρεῖ τούτων, ἐναποσφάττεται δὲ καὶ αὐτός, ἀνὴρ οὐδενὸς τῶν ἡλικιωτῶν ἡττώμενος ἐν τοῖς κατὰ τὰς μάχας ἀνδραγαθήμασιν.

у тях. Тогава, като чули думите на своя княз, те с най-голяма радост решили да тръгнат срещу опасността, за да спасят живота си и смело да се противопоставят на ромейската войска. И тъй на другия ден (тогава бил шестият ден на седмицата и двадесет и четвърто число на месец юли) към залез слънце тавроскитите с цялата си войска излезли от града и след като решили да се сразят с всички сили, наредили се в сгъстен строй с насочени копия. Императорът също построил ромеите и ги извел от стана. Когато сражението започнало, скитите се нахвърлили стремително върху ромеите, пробождали ги с копията си, наранявали конете със стрелите си и смъквали ездачите на земята. Тогава Анемас, който се отличил предния ден и убил Икмора, като видял, че Светослав буйно и яростно напада ромеите и въодушевява своите дружини, пришпорил коня си (той имал този обичай и погубил преди това много скити по такъв начин) и след като му отпуснал напълно юздите, нахвърлил се срещу Светослав. Той го ударил с меча по ключицата и го смъкнал с главата надолу, но не можал да го убие: запазили го щитът му и плетената ризница, която бил облякъл от страх пред ромейските копия. Анемас бил обкръжен от скитската войска и макар че конят му бил повален от честите удари на копията, той погубил много скити, но и сам паднал убит. Този мъж бил ненадминат във военните подвизи от никого измежду връстниците му.

θ'. Ἐπὶ τῷ τούτου τοίνυν οἱ Ῥῶς ἀναθαῤῥήσαντες πταίσματι, γεγωνόν τι καὶ ἄγριον ἐπηλάλαξαν, καὶ Ῥωμαίους ἀνώθησαν. οἱ δὲ προτροπάδην ὑπενόστουν, τὴν ἀλλόκοτον ὁρμὴν ἐκκλίνοντες τῶν Σκυθῶν. ἐνταῦθα ὁ βασιλεύς, ὡς ᾔσθετο κλινομένην τὴν Ῥωμαϊκὴν φάλαγγα, δεδιὼς, μὴ καταπτοηθεῖσα τὸ ἀλλόκοτον ὅρμημα τῶν Σκυθῶν, περὶ αὐτὰ πταίσοι τὰ καίρια, τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος καὶ τὸ δόρυ σθεναρῶς μεταχειρισάμενος κατὰ τῶν ἀντιπάλων ἐχώρει. ἐπαταγεῖτο δὲ καὶ τὰ τύμπανα, καὶ τὸ ἐνυάλιον συνεπήχουν αἱ σάλπιγγες. Ῥωμαῖοι δέ, τὴν τοῦ αὐτοκράτορος καταιδεσθέντες ὁρμήν, τοὺς ἵππους περιελίξαντες, μετὰ ῥύμης τοῖς Σκύθαις ἐφώρμησαν. παραυτίκα δὲ καὶ θύελλα ψεκάδι συμμιγὴς ἀναῤῥιπισθεῖσα, ἐπὶ πολύ τε τοῦ ἀέρος χεθεῖσα, τοὺς δυσμενεῖς ἔβαλλε, καὶ ἡ κόνις ἐγειρομένη ἔβλαπτεν ὀφθαλμούς. λέγεται δὲ καί τινα λευκόπωλον ἄνδρα φανῆναι, προηγεῖσθαί τε Ῥωμαίων, καὶ τούτοις προτρέπεσθαι, χωρεῖν κατὰ τῶν Σκυθῶν ὅστις θεσπεσίως τὰς τῶν δυσμενῶν διακόπτων συνετάραττε φάλαγγας. τοῦτον φασι μήτε

Ободрени от неговото падане, русите надали силни диви викове и започвали да отблъскват ромеите, които отстъпвали в безредие, бягайки пред неудържимия напор на скитите. Когато императорът видял, че ромейската войска отстъпва, уплашен да не би тя да изпадне в паника от страшната стремителност на русите и да бъде разгромена, насърчил отреда си и грабвайки бързо копието, тръгнал срещу неприятелите. Забили барабаните и тръбите засвирили за настъпление. Ромеите, засрамени от устрема на своя император, обърнали конете си и бурно нападнали скитите. Ала внезапно избухнала буря, смесена с дъжд, която се разразила по цялото небе. Тя биела в неприятелите, а вдигналият се прах заслепявал очите им. Разказват, че се появил и един мъж на бял кон, който застанал начело на ромеите и ги насърчавал да отиват срещу скитите. По чудотворен начин той разкъсвал и разбърквал редиците на неприятелите. Никой преди това не го бил забелязал в стана, нито пък го видял след битката. Дори и императорът го

πρότερόν τις ἐν τῷ στρατοπέδῳ θεάσασθαι, οὔθ' αὖθις μετὰ τὴν μάχην ἑωρακέναι· καίτοι βασιλέως αὐτὸν ἀναψηλαφῶντος, ὡς δωρεαῖς ἐπαξίως φιλοφρονήσαιτο, καὶ ἀμοιβαῖς ἕκατι τῶν πόνων ἀμείψαιτο. ἀλλ' οὐχ εὑρέθη ζητούμενος. ἐντεῦθεν ἀναμφίλεκτος ὑπόνοια ὑποτρέχει, τὸν μέγαν ἐν μάρτυσι Θεόδωρον εἶναι, ὃν παρὰ τοὺς ἀγῶνας ὁ βασιλεὺς σύμμαχον ἐξελιπάρει παρίστασθαι, ῥύεσθαί τε καὶ σώζειν συνάμα παντὶ τὸ στρατεύματι. φασὶ δὲ καὶ τοιοῦτόν τι συμβῆναι παρὰ τὴν πρὸ τῆς μάχης ἑσπερίαν. ἐν Βυζάντιῳ παρθένος τῶν ἀνατεθειμένων Θεῷ καθ' ὕπαρ ὁρᾶν ἐδόκει τὴν θεοτόκον, ὑπό τινων φλογοειδῶν ἀνδρῶν. φάναι δὲ πρὸς αὐτούς· „καλέσατε δή μοι τὸν μάρτυρα Θεόδωρον·“ παραυτίκα δὲ παραχθῆναι γενναῖον ἄνδρα καὶ νεανικόν, ἔνοπλον. εἰπεῖν τε πρὸς αὐτὸν τὴν θεοτόκον· „ὁ σὸς παρὰ τὸ Δορύστολον Ἰωάννης, κύριε Θεόδωρε, Σκύθαις μαχόμενος, ἄρτι περιστατεῖται δεινῶς. ἀλλ' εἰς τὴν ἐκείνου σπεῦσον βοήθειαν. εἰ γὰρ μὴ προφθάσῃς, ἐς κίνδυνον αὐτῷ τελευτήσει τὰ πράγματα.“ τὸν δὲ αὖθις, ἑτοίμως ἔχειν, εἰπεῖν, τῇ μητρὶ τοῦ Θεοῦ καὶ δεσπότου μου πειθαρχεῖν· φάμενος δὲ τοῦτο εὐθὺς οἴχεσθαι, καὶ οὕτω τὸν ὕπνον ἀποπτῆναι τῆς παρθένου τῶν ὀφθαλμῶν. ἀλλὰ τῇ μὲν παρθένῳ τὸ ὕπαρ ἐς τοῦτο συνεπεραίνετο.

ι'. Ῥωμαῖοι δέ, τῷ προπορευομένῳ θείῳ ἀνδρὶ ἑφεπόμενοι, τοῖς ἐναντίοις συμπλέκονται, καὶ καρτερᾶς μάχης συστάσης, οὐκ ἐνέγκοντες τὴν τῆς ἱππικῆς φάλαγγος οἱ Σκύθαι ῥοπήν, κυκλωθέντες τε πρὸς τοῦ Μαγίστρου Βάρδα, ᾧ Σκληρὸς ἡ ἐπίκλησις (ἐκεῖνος γὰρ μετὰ τοῦ συνεπομένου πλήθους τὴν κύκλωσιν ἐποιήσατο), εἰς φυγὴν ἔκλιναν, καὶ μέχρι τοῦ περιβόλου συμπατούμενοι, ἀκλεῶς ἔπιπτον. μικροῦ δὲ καὶ αὐτὸς ὁ Σφενδοσθλάβος ἐλήφθη, ἔξαιμος γεγονὼς καὶ καταβελής, εἰ μὴ ἡ νὺξ ἐπελθοῦσα τοῦτον διέσωσεν. λέγεται δὲ παρὰ ταύτην τὴν μάχην πέντε καὶ δέκα χιλιάδας πρὸς τοῖς πεντακοσίοις ἀναιρεθῆναι Σκυθῶν, ληφθῆναι δὲ δισμυρίαν ἀσπίδα, καὶ ξίφη πάμπολλα. Ῥωμαίων δὲ τριακοσίους ἀποκτανθῆναι πρὸς τοῖς πεντήκοντα, τρωθῆναι δὲ συχνούς. ἀλλὰ τοιαύτην μὲν Ῥωμαῖοι τὴν νίκην παρὰ τὸν ἀγῶνα ἠνέγκαντο τουτονί. ὁ δὲ Σφενδοσθλάβος, παρ' ὅλην τὴν νύκτα βαρυθυμῶν ἐπὶ τῇ κατακοπῇ τῆς ἑαυτοῦ στρατιᾶς, ἤσχαλλε μὲν καὶ ἐσφάδαζε τῷ θυμῷ. μὴ ἐξισχύων δ' ἔτι πρὸς ἀκαταγώνιστον ἀνύττειν πανστρατιάν, ἔγνω, στρατηγοῦ νῦν ἔχοντος ἔργον εἶναι, ἐν ἀμηχάνοις καταληφθέντα δεινοῖς, μὴ καταπίπτειν τοῖς λυπηροῖς, παντὶ δὲ τρόπῳ διασώζειν πειρᾶσθαι τοὺς ὑπ' αὐτόν. καὶ δῆτα παρὰ τὴν ἕω πρέσβεις ὡς τὸν αὐτοκράτορα Ἰωάννην στείλας, πίστεις ᾔτει ξυμβάσεων, ἐπὶ τῷ, Ταυροσκύθας μὲν τό, τε Δορύστολον ἐγχειρίσαι Ῥωμαίοις, καὶ τοὺς αἰχμαλώτους ἀπολύσαι, καὶ Μυσίας ἀφέξεσθαι, καὶ πρὸς τὴν σφῶν ἀναζεῦξαι

търсил, за да му отдаде заслужена награда и да му изкаже благодарност за новите подвизи, но колкото и да го търсели, не могли да го намерят. Оттук се разпространило неоспорваното от никого мнение, че това е великият мъченик Теодор, комуто императорът се бил помолил да му помага в сраженията, да го защитава и пази заедно с цялата войска. Разказват също, че вечерта преди битката се случило и нещо подобно: във Константинопол една девица, обречена на бога, видяла на сън божията майка, съпровождана от неколцина пламенни войни, на които тя казала: „Повикайте ми мъченика Теодор“; и те веднага довели при нея един благороден и храбър въоръжен мъж, комуто божията майка казала: „Теодоре, твоят Йоан, който се бие със скитите при Доростол, е сега в тежко положение и затова иди бързо на помощ. Ако ли закъснееш, той ще изпадне в беда.“ А той ѝ отвърнал: „Готов съм да се подчиня на майката на моя господ бог.“ Като казал това, той веднага тръгнал и в тоя миг видението изчезнало от очите на девицата. По такъв начин завършил сънят ѝ.

Ромеите, като последвали божествения си предводител, влезли в бой с неприятелите. Завързало се ожесточено сражение и скитите не могли да издържат натиска на конния отред. Заобиколени от магистър Варда Склир[1] (който ги обкръжил със своя отред), те започнали да бягат и преследвани до самата стена, безславно загивали. Самият Светослав, покрит с рани и загубил много кръв, замалко щял да бъде пленен, ако не го била спасила настъпилата нощ. Казват, че в това сражение загинали петнадесет хиляди и петстотин скити, били взети двадесет хиляди щита и много голям брой мечове. От ромеите били убити триста и петдесет души, но имало много ранени. Такава победа удържали ромеите в това сражение. А Светослав, разгневен от поражението на своята войска, цяла нощ се измъчвал и треперел от яд. Но тъй като нямал вече сили да се бори срещу непобедима войска, сметнал, че е дълг на всеки разумен военачалник, когато изпадне в безизходност, да не се поддава на отчаяние, но да се опита по всякакъв начин да спаси войниците си. Затова призори проводил при император Йоан пратеници, за да искат примирие и уверения за сигурност при следните условия: тавроскитите да предадат Доростол на ромеите, да освободят пленниците, да напуснат Мизия и да отплуват за

[1] Начело на войската срещу Светослав Цимисхий поставил опитния военачалник Варда Склир.

πατρίδα· Ῥωμαίους δὲ παραχωρῆσαι αὐτοῖς τοῦ ἀπόπλου, καὶ μὴ ἐναγομένοις ἐπιθήσεσθαι μετὰ τῶν πυρφόρων νεῶν (ἐκτόπως γὰρ ἐδεδίεσαν τὸ Μηδικὸν πῦρ, δυνάμενον καὶ τοὺς λίθους ἀποτεφροῦν)· ἐπισιτισμόν τε πρὸς τούτοις ἐπιχορηγῆσαι, καὶ φίλους ἡγεῖσθαι αὐτούς, κατ' ἐμπορίαν πρὸς τὸ Βυζάντιον στελλομένους, καθάπερ ἀνέκαθεν ἔθιμον ἦν.

ιά. Βασιλεὺς δέ, τὰς τοιαύτας ἄσμενος διαλλαγὰς προσδεξάμενος (εἰρήνην γὰρ διαφερόντως τῆς μάχης ἐτίμα· τὴν μὲν γὰρ ᾔδει τοὺς λαοὺς διασώζουσαν, τὴν δὲ τοὔμπαλιν διαφθείρουσαν), τάς τε ξυνθήκας ἐτέλει καὶ τὰς σπονδάς, καὶ σῖτον ἐδίδου, ἑκάστῳ ἀνδρὶ μετρῶν ἀνὰ μεδίμνων δύο. εἶναι δὲ τοὺς εἰληφότας τὸν σῖτόν φασιν ἄνδρας δισμυρίους πρὸς τοῖς δισχιλίοις, οἳ ἐκ τῶν ἑξήκοντα χιλιάδων τῆς Ῥωσικῆς στρατιᾶς τότε τὸν ὄλεθρον ἔφυγον· τὰς γὰρ τριάκοντα καὶ ὀκτὼ χιλιάδας ἡ Ῥωμαϊκὴ αἰχμὴ κατηκόντισε. μετὰ δὲ τὸ προβῆναι τὰς σπονδάς, εἰς ὁμιλίαν ὁ Σφενδοσθλάβος τῷ βασιλεῖ συνελθεῖν ἐξαιτεῖ. ὁ δέ, μηδὲν ἀναδύς, διαχρύσῳ πανοπλίᾳ καθοπλισθείς, ἔφιππος παρὰ τὴν ὄχθην τοῦ Ἴστρου ἀφίκετο, μυρίανδρον ἴλην χρυσοφορούντων ἐνόπλων ἱππέων συνεπαγόμενος. καὶ ὁ Σφενδοσθλάβος δὲ ἧκεν ἐπί τινος Σκυθικοῦ ἀκατίου παραπλέων τὸν ποταμόν, τῆς κώπης ἡμμένος καὶ σὺν τοῖς ἑτέροις ἐρέττων, ὡς εἷς τῶν λοιπῶν. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν· τὴν ἡλικίαν μεμετρημένος, οὔτε εἰς ὕψος παρὰ τοῦ εἰκότος ἠρμένος, οὔτε εἰς βραχύτητα συστελλόμενος· δασεῖς τὰς ὀφρῦς, γλαυκοὺς ἔχων τοὺς ὀφθαλμούς, τὴν ῥῖνα σιμός, ἐψιλώμενος τὸν πώγωνα, τῷ ἄνωθεν χείλει δασείαις καὶ εἰς μῆκος καθειμέναις θριξὶ κομῶν περιττῶς, τὴν δὲ κεφαλὴν πάνυ ἐψίλωτο· παρὰ δὲ θάτερον μέρος αὐτῆς βόστρυχος ἀπῃώρητο, τὴν τοῦ γένους ἐμφαίνων εὐγένειαν· εὐπαγὴς τὸν αὐχένα, τὰ στέρνα εὐρύς, καὶ τὴν ἄλλην διάπλασιν εὖ μάλα διηρθρωμένος· σκυθρωπὸς δέ τις καὶ θηριώδης ἐδείκνυτο. θατέρῳ δὲ τῶν ὤτων χρύσειον ἐξῆπτο ἐνώτιον, δυσὶ μαργάροις κεκοσμημένον, ἄνθρακος λίθου αὐτοῖς μεσιτεύοντος. ἐσθὴς τούτῳ λευκή, οὐδὲν τι τῶν ἑτέρων ὑπαλάττουσα ἢ καθαρότητι. ὀλίγα γοῦν ἄττα περὶ διαλλαγῆς τῷ βασιλεῖ ἐντυχών, παρὰ τὸν ζυγὸν τοῦ ἀκατίου ἐφεζόμενος, ἀπηλάττετο. ἀλλ' ὁ μὲν τῶν Ῥωμαίων πρὸς Σκύθας πόλεμος ὧδε ἐτελεύτα (138, 5 — 145, 8; 147, 23 — 157, 12).

своето отечество. А ромеите да ги оставят свободно да си отплуват и да не ги нападат по пътя с огненосните си кораби (скитите страшно много се боели от мидийския огън, който могъл да превръща в пепел дори и камъните). Освен това да ги снабдяват с храна и когато отиват по търговия в Константинопол, да ги считат за приятели според стария обичай.

Императорът приел на драго сърце това предложение за мир (той предпочитал мира пред войната, защото знаел, че мирът запазва, а войната, напротив, изтребва народите). Той потвърдил условията и договора за мир, дал им храна, като отделил на всеки човек по две медимни[1] жито. Казват, че получили храна двадесет и две хиляди души, които от шестдесетхилядната руска войска тогава били избягнали смъртта. Останалите тридесет и осем хиляди загинали от ромейското оръжие. След сключването на договора Светослав поискал лично да се срещне с императора. Той не отказал и в златно въоръжение пристигнал на кон край брега на Истър, съпровождан от многохиляден отред конници със златни доспехи. Светослав пък пристигнал от отвъдния бряг на една скитска лодка с весло в ръка и гребял заедно с другите като обикновен войник. Външният му вид бил приблизително такъв: среден ръст, нито необикновено висок, нито пък нисък, с гъсти вежди, сини очи и чип нос без брада и горна устна, обилно обрасла с гъсти и дълги мустаци. Главата му била съвсем гола, но на едната страна висял кичур коса, който означавал благородния му произход. Той имал набит врат, широки гърди и стройно телосложение, изглеждал свиреп и див. На едното му ухо висяла златна обица, украсена с два бисера, съединени по средата с диамант. Дрехата му била бяла и с нищо не се различавала от дрехите на другите освен с чистотата си. След като поговорил малко с императора относно спогодбата, като седял на скамейката в лодката, той се отдалечил. Така завършила войната на ромеите с русите.

13. *Sphendoslabus Bulgariam relinquit*

ιβ'. Ὁ δὲ Σφενδοσθλάβος, το Δορύστολον καταλιπὼν καὶ τοὺς αἰχμαλώτας προσεπιδοὺς κατὰ τὰς σπονδάς, ἀπέπλει μετὰ τῶν περιλειφθέντων ἑταίρων, ἐπὶ τὴν πατρίδα ἱέμενος. Πατζινάκαι δὲ παρὰ τὸν ἀπόπλουν ἐλλοχήσαντες, ἔθνος νομαδικὸν τοῦτο καὶ πολυάνθρωπον, φθειροφάγον τε καὶ φερέοικον, ἐπ'

13. *Светослав напуска България*

Светослав напуснал Доростол и предал пленниците според договора. След това отплувал с оцелелите си другари към отечеството си. Но на връщане го нападнали из засада печенегите, многочислен скитнически народ, въшлив и неуседнал, който прекарва

[1] Медимната е мярка за вместимост, която съдържа около 59 литри.

